Καὶ πρόσχες, εἴ τις ἀκοὴ πρόσεστί σοι.
Ἐγὼ βασιλὶς Ῥωμαΐδος τῆς νέας, I 62, 19 sq.
Προπατορικὸν εὐτυχοῦσα τὸ κράτος
Καὶ τοῦ γένους αὔχημα τὴν ἁλουργίδα,
Τῆς ἱερᾶς μαίευμα πορφύρας ἔφυν
Καὶ φίλον ἐκλόχευμα τῶν ἀνακτόρων.
Ὁ μητροπάτωρ βασιλεὺς γῆς Αὐσόνων,
Ἀλέξιος Αὔγουστος Κομνηνῶν γένους·
Πατὴρ δὲ λαμπρὸς καὶ γένος καὶ τὴν τύχην,
Θεόδωρος Λάσκαρις, οὗ θρύλλος μέγας

---

10 Iob. 20, 8. 15 Psalm. 90, 6.

Καὶ σεμνὸν εὖχος καὶ πολύζηλα κλέα
Ἐν ἀρεϊκαῖς συμπλοκαῖς τε καὶ νίκαις
Καὶ τοῖς κατ' ἐχθρῶν ἀνδρικοῖς παλαίσμασιν.
Ἐκ μητρικῆς δὲ νηδύος καὶ τοῦ τόκου
Ἔλαχον εὐθὺς τοῦ κράτους τὰς ἐγγύας
Καὶ βασιλικοῖς ἐστολίσθην συμβόλοις,
Καὶ τοῦ στέφους κληροῦχος ὡς καὶ τοῦ κράτους
Ἐκ τῶν βρεφικῶν ἐγκατέστην σπαργάνων.
Εἶτα φθάσασα τὸν νεανίδος χρόνον
Κοινωνὸν ἔσχον καὶ λέχους καὶ τοῦ κράτους,
Καλὸν μὲν ἰδεῖν, εὐγενῆ δὲ τὴν θέαν,
Ἀνακτοφυοῦς ἐκ φυλῆς προηγμένον
Τῆς δουκογενοῦς βασιλίδος ὀσφύος,
Τὸν ἀνδρικὸν καὶ πρᾶον ὡς Δαυὶδ νέον
Καὶ βριαρὸν τὴν χεῖρα Σαμψὼν ὡς νέον.
Τούτῳ συνήφθην ἅμα κοινὸν εἰς λέχος
Νέα νέῳ τε γαμικῶς συνεπλάκην,
Καὶ συνανεκράθημεν εἰς φύην μίαν
Γάμου τε δεσμοῖς ἀλλὰ καὶ πόθου πλέον.
Δεσμὸς γάμου συνῆψεν εἰς συσσαρκίαν,
Ὁ δ' αὖ πόθος συνῆψεν εἰς συμψυχίαν.
Ἔστεργον αὐτόν, ἀλλ' ἐστεργόμην πλέον,
Ἔτερπον αὖθις, ἀλλ' ἐτερπόμην πλέον.
Αὐτὸς πνοή μοι καὶ γλυκὺ φῶς ὀμμάτων,
Ἐγὼ πνοῆς γλύκιον αὐτῷ καὶ φάους
Καὶ καρδίας ἥδυσμα καὶ φρένος γάνος,
Καὶ ζεῦγος ἦμεν καλλοναῖς πάσαις βρύον,
Ὅσαι ψυχὴν καὶ σῶμα κοσμοῦσιν ἅμα.
Οὔπω παρηγγείλαμεν εἰς δείλην βίου,
Οὔπω παρακμῆς εἶδεν ἡμᾶς ὁ χρόνος,
Ἄνθους δὲ καιρὸς εἶχεν ὡς δὲ καὶ χλόης,
Θάλλοντας εὐθηνοῦντας ἀγαθῶν χύσει.
Οὐδὲν γὰρ ἀπῆν τῶν καλῶν τῶν ἐν βίῳ,
Ὅσα κρατούντων ἡδύνουσι καρδίας
Καὶ κῦδος αὐτοῖς προξενοῦσι καὶ κλέος·

---

46 *συσαρκίαν* cod. **52** *φρένος* non mut. **57** *ὡς δὲ*] *ὥστε*?

Πάντα δὲ παρῆν δαψιλῶς καὶ πλησμίως,
Νῖκαι κατ' ἐχθρῶν, εὐτυχεῖς στρατηγίαι,
Κράτους πλατυσμὸς καὶ κατάσχεσις πλάτους.
Ὑπὲρ τὸν Ἑλλήσποντον ἤρθη τὸ κράτος,
Εἰς Εὐρώπην ἔφθασεν ἐκ τῆς Ἀσίας
Καὶ τὴν Θρᾳκῶν ἐπέσχε καὶ Μακεδόνων
Καὶ τῶν πυλῶν ἔψαυσε τῆς Κωνσταντίνου.
Ἀνδραποδισμὸς Ἰταλῶν καὶ ζωγρία fol. 20r
Καὶ συνεχῆ λάφυρα τούτων καὶ σκῦλα
Καὶ παντελὴς δίωξις ἐκ γῆς Αὐσόνων,
Ἐκ τοῦ πρὸς ἀνίσχοντα φωσφόρου κλίτους
Κἀκ τοῦ δυτικοῦ καὶ πρὸς Εὐρώπην μέρους·
Οὐ νῆσος οὐκ ἤπειρος αὐτοῖς εἰς λάχος,
Φρούριον αὐτοῖς ἡ Κωνσταντίνου μόνη.
Ἀλλ' ἦλθεν αἴφνης φεῦ τὸ θανάτου ξίφος
Ἄελπτον ἀδόκητον ὥσπερ ἐκ λόχου,
Καί με πρὸ ὥρας ἐκθερίζει τοῦ βίου·
Οὐκ ἔσχε φειδὼ τῆς ἐμῆς ἡλικίας,
Οὐ τὴν ἄωρον ἐκτομὴν ὑπεστάλη,
Ἀνθοῦσαν ἐξέκοψεν ὡς ὠμὸν στάχυν
Πρόρριζον ἀνέσπασεν ὡς φθιτὸν φθίνον.
Τὸ καρτερικὸν ἐν μάχαις τοῦ συζύγου,
Τὸ δ' αὖ περιδέξιον εἰς δεινῶν λύσιν
Ἤλεγξεν οἴμοι τοῦ πάθους ἡ στερρότης·
Ἀργὸν γὰρ αὐτῷ πᾶν ξίφος καὶ πᾶν δόρυ
Καὶ πᾶν μάχης ὄργανον ἄπρακτον φθάνει —
Πρὸς γὰρ ἀσάρκους δυσμενεῖς τί καὶ δράσῃ; —
Μόνοις δὲ κλαυθμοῖς καὶ γόοις προσανέχει
Πάννυχον ἅμα καὶ πανήμερον χρόνον.
Οἴμοι τίς αὐτῷ τὸν πολὺν στήσει γόον;
Ἢ τίς ἐπίσχῃ τὴν φορὰν τῶν δακρύων;
Τίς τῶν στεναγμῶν μετριάσει τὸν κτύπον;
Τίς δὲ πραΰνει τοῦ λογισμοῦ τὴν ζάλην;
Τῆς καρδίας τίς ἡμερώσει τὸν σάλον;

---

72 *προσανίσχοντα* cod. **73** *εὐρῶπη* cod. (cf. v. 72). **88** *δράσ* cod.

Τίς παρακαλῶν καὶ παρήγορος φθάνων
Ἐξευμαρίσει τὸ τραχύνον τῆς λύπης;
Ὡς δειλιῶ — καλὸς γάρ ἐστι καὶ νέος —
Μὴ τοῖς ὀδυρμοῖς συντακῇ καὶ τοῖς γόοις.
Ποθῶ γὰρ αὐτὸν ἐς πολὺν ζῆσαι χρόνον,
Ἄωρον αὐτὴ κἂν ἔλιπον τὸν βίον·
Πνέω δὲ τοῦτον, κἂν τελῶ πνοῆς δίχα.
Τοιοῦτον εὗρον τέρμα τοῦ βίου, ξένε.
Ἀλλὰ πρὸς αὐταῖς τοῦ βίου ταῖς ἐξόδοις
Μακρὰν σκορακίσασα τὴν ἁλουργίδα
Καὶ σύμβολον πᾶν ἀρχικὸν καὶ τοῦ κράτους,
Τὸ τῶν μοναχῶν εὐτελὲς τουτὶ ῥάκος
Ὡς κόσμον ἐντάφιον ἐνστολισάμην.
Κλῆρος δέ μοι νῦν ἐκ τοσούτου τοῦ κράτους
Βραχὺ μέρος γῆς καὶ τραχὺς οὗτος λίθος,
Ἃ τὴν ἐμὴν κρύπτουσιν ἐνθαδὶ κόνιν.
Σὺ δ' εἴ γε τοῖς κλαίουσιν οἶδας συγκλάειν
Καὶ συλλυπεῖσθαι συμπαθῶς τοῖς ἐν λύπαις,
Τὸ φιλόκοινον ἦθος ἀσπαστὸν κρῖνον
Λιταῖς τὸ θεῖον εὐμενὲς ἡμῖν τίθει,
Ὡς τὴν Ἐδὲμ λάβοιμεν εἰς κλῆρον νέον
Καὶ πραέων γῆν εἰς ἀίδιον λάχος.

---

108 *ἐστολισάμην?* **112** *συγκλαίειν?* **114** *κρίνον* cod.

Στίχοι τοῦ λογοθέτου τῶν γενικῶν κυροῦ Γεωργίου τοῦ Ἀκροπολίτου, γεγονότες εἰς εἰκόνα τῆς ὑπεραγίας θεοτόκου ἔχουσαν τὰς ιβ' δεσποτικὰς ἑορτάς.

Cod. Laur. S. Marco 303 fol. 1 r

Σώσασα κοινὴν ἐνθέῳ φύσιν τόκῳ
Ἴθυνον αἰτῶ τὸν βίον μοι πρὸς δέον,
Μετὰ δὲ βίον χάρισαι σωτηρίαν,
Ναὶ μῆτερ ἁγνὴ συμπαθοῦς θεοῦ λόγου,

Ὃν συνέλαβες ἐκ λόγων ἀρχαγγέλου,
Ὃν σπαργανοῖς τεκοῦσα ναῷ προσφέρεις,
Ὃς καὶ καθαίρει τὴν βροτῶν ῥυφθεὶς φύσιν
Καὶ φωτοειδῆ τοῖς μαθηταῖς δεικνύει,
Ζωοῖ Λάζαρον, συμπρόεισι βαΐοις,
Ξύλῳ τε θανὼν ἐγκαλύπτεται λίθῳ,
Ἀλλ' ἐξαναστὰς ἀνιών τε πρὸς πόλον
Πέμπει τὸ πνεῦμα παρὰ πατρὸς τοῖς φίλοις,
Μεθιστᾷ καὶ σὲ καὶ παριστᾷ τῷ θρόνῳ,
Τῶν εὐσεβούντων προστάτιν ἔχειν θέλων·
Κἀγὼ προϊστῶν Καλοειδᾶς τοὐπίκλην,
Κλῆσιν δὲ Νικόλαος, εὕροιμι λάχος
Μέγα κἂν αἰτῶ τὴν Ἐδὲμ μετὰ βίον.

Τοῦ μεγάλου λογοθέτου κυροῦ Γεωργίου τοῦ Ἀκροπολίτου.

Cod. Laur. 59, 35 fol. 39r

Ἂν οὐρανοῦ τὸν γῦρον ἡ δέρρις φέρῃ
Καὶ γῆς τὸ κύτος ὁ στενὸς γράφῃ τύπος,
Καὶ γνώσεως ἄβυσσον οὐ μετρουμένην
Ἡ βίβλος ἥδε συμπερικλείειν φθάνει,
Ἄπειρον ἀόριστον ἄφθονον χύσιν
Σοφῶν ναμάτων ἐκ φλεβῶν τεραστίων.
Ὡς ἀστέρας μὲν λευκοσυνθέτους λόγους
Εἰς πλῆθος ἀμέτρητον ἐκπεπτωκότας
Καὶ παμφαεῖς ἔσχηκε τοῖς θεωμένοις,
Ἔσωθεν αὐγάζοντας ἀνθρώπων φύσιν
Καὶ καταλαμπρύνοντας αὐτῶν τὰς φρένας.
Ὡς ποικιλόχρουν αὖθις ἀνθέων θέαν
Τὸ ποικίλον σύνταγμα τῶν γεγραμμένων
Πάνλαμπρον ἔνδον ἐγκαθειργνύει βίβλος,
Ὡς ὄστρεον μάργαρον, ὡς κάλυξ ῥόδον,
Ὡς ἁλιθρέμμων κόχλος ἄνθος πορφύρας,

---

14 πᾶν λαμπρὸν cod. 16 ἁλιθρέμβων cod.

Ἐπιστολὰς εἰς κάλλος ἐξειργασμένας,
Ἤ, καὶ λυσιτέλημα τῶν λογεμπόρων,
Θεοδώρου Λάσκαρι τοῦ βασιλέως
fol. 39v *Ἄνακτος υἱοῦ παγκλεοῦς Ἰωάννου,*
Οὗ θρύλλος ἐξέδραμεν εἰς πᾶσαν χθόνα,
Οὗ τὸ πρὸς ὅπλα καὶ πρὸς ἱππηλασίαν,
Χεῖρα κραταίαν, εὐφυᾶ τόξου τάσιν,
Καὶ πᾶσαν ἄλλην στρατιῶτιδα τέχνην
Καὶ πᾶσαν ἄλλην ψυχικὴν εὐανδρίαν
Ἄλλων λόγων πέφυκε καὶ σπουδασμάτων·
Νυνὶ δὲ γραφαὶ καὶ λόγων εὐκοσμία,
Ἐπιστολῶν πόνημα συντεταγμένον.
Μακροὺς μὲν ἄλλους οὗτος ἐκφέρει λόγους,
Τοὺς μὲν πρὸς ἐξέτασιν οἷς φύσις τόπος,
Τοὺς δὲ πρὸς ἀνάπτυξιν οἷς κρείττων ὅρος,
Ἐγκωμίων αὐχοῦντας ἄλλους δ' αὖ ὕλην,
Πάντας δὲ σεμνοὺς ὡς ὑπεξηρημένους
Νοήμασι σχήμασι λοιπαῖς ἰδέαις,
Αἷς λαμπρῶς ἅπας ἀγλαΐζεται λόγος.
Τίς δὲ παραπλεύσειεν αὐτῶν τὴν χάριν,
Σειρῆνας ὥσπερ τοῦ Λαερτίου γόνος,
Καὶ μὴ πρὸς αὐταῖς πυξίσι τῶν γραμμάτων
Τὸ σκάφος αὐτοῦ τοῦ νοὸς καθορμίσῃ;
⟨Ἐ⟩πείπερ οὐκ ὄλεθρον ἀκροωμένων,
Ζωὴν δὲ μᾶλλον προξενοῦσιν αἱ βίβλοι
Οὔκουν χρόνῳ φθίνουσαν ὡς τῶν σωμάτων.
Καὶ ταῦτα μὲν δὴ μακροσυνθέτων πέρι,
fol. 40r *Ἀλλ' ἐνθαδὶ χάρις τις ἄλλη γραμμάτων*
Ἐπιστολιμαία τε πρὸς λόγων φίλους,
Μουσῶν Ἑλικὼν καὶ Πιερία νέα,
Μέλος λιγυρὸν καὶ χορευμάτων κρότος.
Ὠιδῆς τὸ τερπνὸν ποῖον ἐξείποι στόμα;
Ἠχῆς τὸ σεμνὸν ποῖος ἐκφράσοι λόγος;
Ὁ θιασώτης Βάκχος εὐθὺς εὑρέθη

---

18 *λεγεμπόρων* cod. **31** em. Krumbacher, cod. *κρεῖττον ὅρος*. **33** *ὑπερεξηρμένους*? **50** *εὐθὺς*] *αὖθις*?

Ἐπεμφορηθεὶς νέκταρος, θείου πότου,
Ὡς ἐκ πόλου ῥέοντος αὐτῆς τῆς βίβλου.
Τί δῆτα μακρὸν ἀποτείνω τὸν λόγον
Καὶ πρὸς πυλῶσι κατέχω τοῦ θαλάμου
Τὴν λίχνον ἀκρόασιν, ἣ σπεύδει δῦναι,
Ὡς ζημιοῦσθαι ζημίαν οὐ μετρίαν;
Εἴσελθε τάχος τάχος ἔνδοθεν, ξένε,
Κατατρύφησον τῶν σοφῶν νοημάτων,
Καὶ πρὸς κόρον πλήσθητι καὶ τῶν σχημάτων,
Μὴ φράσεως ἥδυσμά τι παραδράμῃς·
Γενήσεται γὰρ ὡς γλυκάζον σοι μέλι.
Πάντων κατάκρως ἐμφοροῦ τοῦ βιβλίου
Καὶ τῶν λόγων θαύμαζε τὴν πρώτην βρύσιν.

Στιχηρὸν ψαλλόμενον τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ· ποιηθὲν παρὰ τοῦ κυροῦ μεγάλου λογοθέτου τοῦ Ἀκροπολίτου. ἦχος πλάγιος β. εἰς τὸν ἐπιτάφιον ἀσπασμῶν.

Τὸν ἥλιον κρύψαντα
τὰς ἰδίας ἀκτῖνας,
καὶ τὸ καταπέτασμα
τοῦ ναοῦ διαρραγὲν
τῷ τοῦ σωτῆρος θανάτῳ
ὁ Ἰωσὴφ θεασάμενος,
προσῆλθε τῷ Πιλάτῳ
καὶ ἱκέτευε λέγων·

1—4 Matth. 27, 51 sq. Marc. 15, 38 sq. Luc. 23, 44 sq. 7 Matth. 27, 57 sq. Marc. 15, 42 sq. Luc. 23, 50 sq. Io. 19, 38

Cod. Athen. 884 fol. 5ᵛ = A, Cod. Brit. add. mss. 28821 fol. 47ʳ = B, qui praebet titulum: *ψάλλεται τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ: νικηφόρου τοῦ βλεμίδους.*

῾Δός μοι τοῦτον τὸν ξένον,
τὸν ἐκ βρέφους ὡς ξένον
Αἰγύπτῳ ξενωθέντα·
Δός μοι τοῦτον τὸν ξένον,
ὃν ὁμόφυλοι μισοῦντες
μαστιγοῦσιν ὡς ξένον·
Δός μοι τοῦτον τὸν ξένον,
οὗ ξενίζομαι βλέπειν
τὸν θάνατον τοῦ ξένου·
Δός μοι τοῦτον τὸν ξένον,
ὃς παρῆν εἰς ξενίζειν
τοὺς πτωχοὺς καὶ ξένους.
Δός μοι τοῦτον τὸν ξένον,
ὃν Ἰούδας δολίως
ἀπεξένωσε κόσμου.
Δός μοι τοῦτον τὸν ξένον,
ὃν ὁ φίλος ἀρνεῖται
μὴ εἰδέναι ὡς ξένον.
Δός μοι τοῦτον τὸν ξένον,
[ἵνα κρύψω ἐν τάφῳ,]
ὅτι οὐκ ἔχει ὁ ξένος
τὴν κεφαλὴν ὅπου κλίναι.
Δός μοι τοῦτον τὸν ξένον,
ὃν ἡ μήτηρ ὡς ζῶντα
καθικετεύει βοῶσα·

Εἰ καὶ τὰ σπλάγχνα σπαράττομαι
καὶ τὴν καρδίαν τιτρώσκομαι

---

11 Matth. 2, 13 sq. **13** Matth. 26, 67 Marc. 14, 65 Io. 18, 22 **16** Luc. 23, 48. **22** Matth. 26, 48 sq. Marc. 14, 44 sq. Luc. 22, 47 sq. **25** Matth. 26, 74 Marc. 15, 66 sq. Luc. 22, 54 sq. Io. 18, 16 sq. **29** Matth. 8, 20 Luc. 9, 58

---

11 *αιγυπτω* B *αιγυπτου* A **13** *ομοφυλοι* B *ομοφιλοι* A **15** *ξενον* A *ξεινον* B **19** *ὃς παρῆν εἰς* scripsi *ος παρη εις* B *ως παρειναι* A ‖ *ξενιζειν* A *ξενισαι* B **20** *πτωχούς ⟨τε⟩ καὶ*? **23** *απεξενωσεν κοσμου* A *απεξενωσε κωμω* B **25** *ὁ* A om. B **30** *οπου* B *που* A [*τὴν*] omittend? **33** *ἱκετεύει*?

νεκρὸν ἄπνουν σε βλέπουσα,
ἀλλὰ τῇ σῇ ἀναστάσει
μεγαλυνθῆναι θαρρῶ.'

Τούτοις δυσωπήσας
τὸν Πιλᾶτον τοῖς λόγοις,
ὁ εὐσχήμων λαμβάνει
τὸ σῶμα τοῦ σωτῆρος,
καὶ εὐσχημόνως εἰλύσας
ἐν σινδόνι καὶ μύροις
κατέθετο μνημείῳ,
τοῖς πιστοῖς παρεχόμενος
ζωὴν αἰώνιον καὶ τὸ μέγα ἔλεος.

---

41 cf. adnot. ad vers. 1—4.

---

43 *εἰλύσας* scripsi *ειλησας* A *ηλησας* B **44** *μυροις* A *σμυρνι* B **46** *παρεχομενος* A *παρασχομενος* B *παρεχόμενον*?

Cod. Marc. XI 22 fol. 126r

Τοῦ Ἀκροπολίτου κυροῦ Γεωργίου ἐπιτάφιος τῷ ἀοιδίμῳ βασιλεῖ κυρῷ Ἰωάννῃ τῷ Δούκᾳ.

1. *Ἰοὺ ἰοὺ καὶ ὁ μέγας τέθνηκε βασιλεύς, ἰοὺ ἰοὺ ὁ περίπυστος Ἰωάννης καὶ κράτιστος, τὸ φοβερὸν καὶ φρικαλέον τοῖς ἐχθροῖς ὄνομα, χάριεν δὲ ἡμῖν καὶ ποθούμενον. ἰοὺ ἰοὺ τὸ τῶν Ῥωμαίων ἐχυρώτατον καταβέβληται πύργωμα, τὸ Σεμιραμείων τειχῶν ἐρυμνότερον, ἐν ᾧ τὰ πάντα περιφράγνυντο καὶ τοῖς ἐναντίοις διετηροῦντο ἀνεπιβόυλευτα. ὁ κοσμικὸς στύλος σεσάλευται καὶ κατήρρακται, ὃς εἰς ὕψος αἰθέριον τὴν τῶν Ῥωμαίων ἀνῆγεν ἀρχὴν καὶ περιφανεστέραν πᾶσιν ἐτίθετο. τὸ κέντρον τοῦ τῶν Αὐσόνων κυκλώματος ἐξηφάνισται, ἐξ οὗ γραμμαὶ πρὸς ξυνοχὴν ἀπεπέμποντο, τὰ μὲν τῆς σωστικῆς περιφανείας περικρατοῦσαί τε καὶ ξυνάγουσαι, μακρὰν δὲ βάλλουσαι τὰ τῶν ἐχθρῶν κεντρία τὰ καθ' ἡμῶν ἐπαλλόμενα. ὁ κλεινὸς καὶ λαμπρὸς ἀπέ-*
Io. 11, 9 *σβεσται ἥλιος, δι' οὗ προσκόμματος λίθους ἡμεῖς ἐφυγγάνομεν, δι' οὗ φαῦσις ἡδεῖα ἡμῖν, δι' ὃν καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως τὴν βάδισιν ἐποιούμεθα, ἐξ οὗπερ ἀκτῖνες ἀπέρρεον χαριτόβλυτοι, πᾶσαν Ῥωμαίων χθόνα περιαυγάζουσαι, ὑφ' ὧν καὶ κατετεφροῦντο τὰ τῶν ἐναντίων φρονήματα, ὃν οὐ σελήνης ὑποτρέχειν σῶμα, τὸ αὐτὸ μικρὸν κολούειν ἠδύνατο, ἀλλοθρόων ἀναιδῶν κεναυχήματα, οὐδὲ νέφους ἀχλὺς ὑπεσκότιζεν, ἀντιμάχων δολερῶν διαβούλια.*

2. *Ἰοὺ ἰού, ἀνακτέον γάρ μοι τὸν λόγον εἰς τὸ θρηνῷδημα. φεῦ τοσούτου πάθους, ἰαταὶ τῆς τοιαύτης ἡμῖν συμφορᾶς. πέπτωκε δένδρον τὸ ὑψιτενὲς καὶ πλατύκομον, ἐν ᾧ τὰ τῶν ὅλων ἐψυχαγωγοῦντο περισκεπόμενα, οὐχ ἡλιακαῖς εἱληθερούμενα καύσεσιν οὐδὲ ταῖς ἐκ χιόνων πηγυλίσιν ἀποψυχόμενα. ἆρ' ἄγε, ὦ παρόντες Ῥωμαῖοι, ἀληθῶς αὐτοὶ τῷ βίῳ περίεσμεν τοῦ βασιλέως ἐξ ἡμῶν ἀποπτάντος, ὃς ψυχῆς λόγον ἢ ζωῆς τόπον ἐν*

---

18 *ὦν* cod. **25** *περισκεπόμια* cod. *ἡλιακοῖς* cod. **26** *πηγριλλίσιν* cod.

ἡμῖν ἀπεξέφερεν; ἢ ζῆν μὲν δοκοῦμεν, τῇ δ' ἀληθείᾳ τεθνήκαμεν; ἔστι γὰρ καὶ θάνατος ἐν ἀνθρώποις μήπω φαινόμενος, ὄντως δὲ ὢν καὶ τοῖς ἐξετάζουσι γινωσκόμενος, αὐτομιᾷ δὲ μύθου καὶ λίθον ἐξ ἀνθρώπων ποιεῖ καὶ δακρύειν τοῦτον οὐ κατοκνεῖν ἀποφαίνεσθαι. λιθοῖ μὲν γὰρ ὄντως ἀνθρώπου φύσιν πάθος ἐπεισφρῆσαν βαρὺ καὶ ἀναίσθητον ἐν τοῖς ἄλλοις ἐργάζεται μόνου τοῦ ἄλγους ἐχόμενον καὶ διηνεκῶς δακρύειν βουλόμενον.

3. Ἆρ' οὖν, ὦ Ῥωμαῖοι, ὁ κράτιστος ἐκεῖνος καὶ τῶν πώποτε βασιλέων μεγαλουργότατος ὡς εἷς τῶν ἀνθρώπων καὶ αὐτὸς τὴν γῆν ὑποδέδυκε καὶ ψυχρὰν περιβέβληται πλάκα, λίθων λαμπροτάτων καὶ μαργάρων ταύτην ἀνταλλαξάμενος; ὁ πολὺς τὴν ἰσχύν, ὁ τὴν σύνεσιν ἀπαράμιλλος, ὁ πολλαῖς μάχαις ἐξετασθεὶς καὶ πλείστας νίκας ἀναδησάμενος, οὗ τὰ τρόπαια ὑπὲρ ψάμμον θαλάσσης καὶ ἄστρων πλῆθος μὴ ἀριθμούμενον, τὰ μὲν κατὰ χέρσον, τὰ δὲ κατὰ θάλατταν, ὃν ὁ φριμακτίας ἔτρεσεν Ἰταλός, ὃν ὁ μάχιμος πέφρικε Πέρσης, ὃν ἐδεδοίκει Παίων αἱμοχαρὴς καὶ Μυσὸς καὶ Δαλμάτης ὑπέπτηξαν, οὗ τὸ δόρυ καὶ ἐς Γαδείρων ὅρους πεφόβηνται, οὗ τὴν σπάθην καὶ οἱ κατὰ πάντων ἀριστεύοντες ἐτετρέμαινον; ἆρ' οὖν οὕτως ἐκεῖνος σὺν τοῖς λοιποῖς Χάρωνος γεγένηται παρανάλωμα καὶ ξίφους ἔργον θανατηροῦ; καὶ κατεκαυχήσατο καὶ αὐτοῦ τὸ τοῦ Πλούτωνος βέλεμνον; τίς μοι δοίη φωνὴν Στεντόρειον, τίς πλατυνεῖ μου τὸ στόμα καὶ εὐρυχανδέστερον θήσειεν, ὡς ἂν φωνὴν ἀπερεύξωμαι τοῦ πάθους ἀξίαν καὶ παραμετρουμένην τῷ μεγέθει τοῦ δυσπραγήματος; τίς μοι δανείσοι γλῶτταν Ὁμήρειον ἢ μοῦσαν τὴν Ἡροδότειον, ὡς ἂν τοῦ μὲν αὐτοκράτορος μικρὸν ἐγγίσω τῷ λόγῳ τοῖς ἀριστεύμασι, τῷ δὲ πάθει παρισώσω τὸν ἐκ τῶν λόγων ὀλοφυρμόν; ἀλλὰ ταῦτα μὲν μὴ καὶ ἀδύνατα ἂν εἴη μὴ μόνον ἡμῖν τοῖς οὕτω χαμαιζήλοις περὶ τοὺς λόγους ἀλλὰ καὶ τοῖς ἄγαν ὑψηλοῖς τὴν διάνοιαν· ἀλλὰ τίς ἄν μοι χρήσαιτο καθ' Ἱερεμίαν Thren. 2, 18 θαλάσσας δακρύων καὶ στεναγμάτων ἦχον βαρύβρομον, ὡς ἂν θρηνήσαιμι προσηκόντως τὸν αὐτοκράτορα;

---

5 κατοκνεῖ? 15 ὑψὲρ cod. 20 ἐτετρέμμαινον cod. ‖ οὗτος cod. 21 ξίφος cod. 22 αὐτὸ cod.

4. Ἔδει μὲν οὖν ἡμᾶς, ὦ σεμνὴ γερουσία, καὶ πάντας Ῥωμαίους μὴ ὀλοφυρμοῖς μόνον τεθνηκότα δεξιοῦσθαι τὸν βασιλέα μηδὲ μόνον σπείσασθαι στεναγμοὺς ἢ δρύψασθαι παρειὰς ἢ καταξᾶναι τρίχας ἢ μέγα κωκῦσαι καὶ δακρυόφυρτον ἢ μελανειμονῆσαι πάθους εἰκόνα καὶ σύμβολον· οὐχ οὕτως οὖν ἔδει μόνον ἐκείνῳ τὴν ὁσίαν χαρίσασθαι, ἀλλ' εἴπερ ἦν ὅσιον καὶ τὰς ψυχὰς ἀπιόντι συναπερεύξασθαι καὶ νεκροὺς σὺν αὐτῷ φανῆναι τοὺς πάλαι ψυχωθέντας καὶ ζωωθέντας γε δι' αὐτοῦ. ἐτεθνήκει μὲν γὰρ ὡς ἀληθῶς πρὸ μακροῦ τὰ Ῥωμαίων πράγματα καὶ νενέκρωται, ἀληθῶς Ἰταλικῇ τῇ νόσῳ κατασχεθέντα, ἐξ οὗ τὴν βασιλίδα τῶν πόλεων, ἣ κεφαλῆς λόγον ἐπεῖχε πάσῃ τῇ Ῥωμαίων ἀρχῇ, ἐξ ἐφόδου παρεισπεσόντες τῇ δυναστείᾳ τούτων συμπαρεστήσαντο. ὡς οὖν ἠνδραποδίσαντο τὴν βασίλισσαν καὶ τὴν κυρίαν ᾐχμαλωτεύσαντο, ἐντεῦθεν ἅπαν ἀπραγμόνως θεραπευτικὸν ὑπηγάγοντο. αὕτη μὲν οὖν ἡ κοινὴ Ῥωμαίοις γεγένηται συμφορὰ τοῖς ἀπείροις κρίμασι τοῦ θεοῦ, εἰς ἃ μηδὲ Παῦλος παρακύπτειν δεδύνηται, ὁ εἰς τρίτον ἀρθεὶς οὐρανὸν κἀκεῖθεν ἀπαχθεὶς εἰς παράδεισον. ἐγένετο γοῦν ἐξάπινα ἡ θειοτέρα Ἱερουσαλὴμ εἰς ἐρήμωσιν, καὶ τὸ τοῦ προφήτου φάναι ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ καὶ ὡς ἀποβεβληκυῖα τὰ φύλλα ταύτης τερέβινθος. ἀλλ' ἤγειρεν ὁ θεὸς τὸν μέγαν ἐκεῖνον βασιλέα, Θεόδωρον λέγω τὸν Λάσκαριν, ὃς τῆς τῶν Ῥωμαίων νηὸς κλυδαζομένης συνεπελάβετο καὶ ἐπὶ τῶν οἰάκων κεκάθικε καὶ τὴν ταύτης κυβέρνησιν ὑπὸ θεοῦ καὶ τῆς αὐτοῦ δεξιωτάτης φύσεως ἀνεδέξατο. πρῶτος οὖν αὐτὸς ταῖς τῶν πολλῶν καὶ μεγάλων ἀντεκατέστη*** πολλῷ ἀντεμβολεῖν καὶ τοῖς ἀπαρκτίαις καὶ σκαφοδύταις καικίαις ἀνδρικῶς ἐμαχέσατο. οὐ πολὺς ὁ χρόνος,
1222 κἀκεῖνος οὖν παρείληπται πρὸς τοῦ κρείττονος, τὴν δὲ τῆς ὁλκάδας ἡγεμονίαν τῷ δεξιῷ πρὸς ταῦτα καὶ ἐπιστήμονι

18 II. Cor. 12, 2. 4. 21 Is. 1, 8. 22 ibd. 1, 30.

7 συναπερρεύξασθαι cod. 21 συκιηλάτω cod. 28 *** lac. adnotavi; ἀντεκατέστη ⟨κυμάτων ῥιπαῖς καὶ τῷ κλύδωνι ὑπέστη⟩ vel talia suppl.

καὶ οὗ πεῖραν εἴληφεν ἐκ πολλῶν ἐγκεχείρικεν. ὁ δὲ τὸ σκάφος παραλαβὼν σμικρότατον πάνυ καὶ ὅσον οὐχ ἁπλῶς κοίλην νῆα ἀλλ' οὐδὲ δρόμωνα ἢ λέμβος λογίζεσθαί τε καὶ φαίνεσθαι, τυννουτοῖ δὲ πλοιάριον καὶ ὃν ὡς ἀληθῶς καὶ λεγόμενον, εἰς τοσοῦτον ἤγαγε μέγεθος ὑψώσεώς τε καὶ πλατυσμοῦ, ὥστε οὐ τριακοντήρη ἢ τεσσαρακοντήρη, τὰ περιθρύλλητα τοῖς παλαιοῖς ἢ μᾶλλον εἰπεῖν ἀδυνατοῦντα πρὸς σύμπηξιν, ἀλλὰ χιλιοντήρη ἢ μυριοντήρη ταύτην κατασκευάσασθαι.

5. Ἀλλὰ τί ἀδολεσχῶ ταῖς μεταφοραῖς καὶ τροπολογῶν βαρύνω τὰς ἀκοάς, ἐξὸν τρανῶς διασαφῆσαι τὰ πράγματα καὶ ὑπ' ὄψιν αὐτὰ παραστήσασθαι; ὁ μὲν δὴ βασιλεὺς οὗτος ὁ μέγας τὴν ἡγεμονίαν παρὰ τοῦ βασιλέως καὶ κηδεστοῦ προσδεξάμενος, | κλῆρον δίκαιον καὶ ἀνῆκον ἀγκαλισάμενος fol. 126 v σχοίνισμα ἀλλ' οὐχ ἅρπαγμα συλησάμενος, ὃ πολλοῖς ἑτέροις ἐπισυμβέβηκε, καὶ ἡγεμονίαν τοσαύτην ὅσην οὐδὲ εἰς ἀρχὴν ἀρκοῦσαν εἶναι περίπυστον, μήτοι γε βασιλείαν Ῥωμαίων τὴν περιώνυμον, ἣ τῷ πλάτει καὶ τῷ μεγέθει κατὰ πολὺ τῶν ἄλλων διέφερε — μικροῖς γὰρ αὕτη καὶ εὐπεριγράπτοις τοῖς ὁρίοις περιεσφίγγετο καὶ ἀσθενεστέροις περιεκυκλοῦτο θριγγώμασι καὶ τούτοις εἰς τὴν ἑῴαν μόνον, ἐπεὶ τὰ πλείω ταύτης ἐκαρποῦτο ὁ Ἰταλός. τοιαύτην δὲ τὴν ἡγεμονίαν οὗτος παρειληφὼς καὶ ὑπολογισάμενος καθ' αὐτόν, ὡς οὐ τρυφῆς ὑπόθεσις γίνεται τὸ βασιλικὸν τοῖς εὖ φρονοῦσιν ἀξίωμα οὐδὲ χλιδῆς λόγος οὐδὲ βλακείας παράνυξις, ἀλλ' ἀφορμὴ ἀγώνων μακρῶν καὶ περιφρονεστέρων ἔργων αἰτία, πολέμων τε καὶ τῶν παρεπομένων τροπαίων, ἃ θεὸς ἐπιβραβεύει τοῖς ἀόκνως μαχομένοις ἐπὶ δικαίοις τοῖς πράγμασι — τοιαῦτα δὴ διανοηθεὶς καὶ εἰς ὕψος ἄρας τὸ φρόνημα καὶ ἐξογκώσας τὸν λογισμὸν οὐ μικρόν τι καὶ ταπεινὸν οὐδ' ἀγεννὲς καὶ τῶν μὴ πάνυ παραδόξων ἐργάζεται, ἀλλὰ νεανικὸν καὶ γενναῖον καὶ τοῖς κατ' ἐκεῖνο καιροῦ μηδ' εἰς ψιλὴν ἀναπολούμενον ἔννοιαν.

6. Τῶν γὰρ Ἰταλῶν ἀμάχων μὲν ὄντων καὶ φύσει, ἐξ ὧν δ' εἰς ἡμᾶς εἰργάσαντο πεφυσιωμένων μακρὰ καὶ μαχιμωτέρων γεγενημένων καὶ τὰ πλείω μὲν τῆς ἑῴας ὡς ἔφημεν καρπουμένων — Σκάμανδρος γὰρ αὐτοῖς ὑπετάτ- I 11, 21 sq.

*τετο συνυπέκυπτέ τε καὶ Ἀδραμύτιον, καὶ Περγάμου
μέχρις ἐπήγνυντο οἱ σταθμοί, Πηγῶν τε χῶροι καὶ Λεντια-
νῶν ἐτέλουν ὑπόφορα, ἔξω δὲ τούτων ὑπῆρχεν οὐδὲ Λουπά-
διον, μικρὸν δέ τις ἐντεῦθεν ὑπερβαλὼν καὶ εἰς Νικομή-
δους εἶδε καὶ πᾶσαν τὴν πέριξ χώραν σφίσι κατανεμομένην
ὡς ὑποχείριον — οὕτω γοῦν τῶν ἑῴων διακειμένων, τῶν
δυτικῶν δὲ ἁπάντων πρὸς σφῶν αὐτῶν καὶ τῶν Βουλγάρων*
I 12, 4 sq. *καὶ τῶν ἐξοιστρησάντων τῆς δικαίας ζεύγλης Ῥωμαίων καὶ
τῆς δουλείας ἀπερρηγμένων ἐξηνδραποδισμένων καὶ κατα-
δεδουλωμένων ὡς ἴσασιν ἅπαντες — τοιούτων δὴ τῶν
πραγμάτων ὄντων καὶ οὕτω δειλίαν ἐμπαρέχειν δεδυνημένων
μὴ ὅτι γε τοῖς πολλοστὴν ἔχουσιν οἵαν ἐκεῖνος ἐδέξατο τὴν
ἀρχήν, ἀλλὰ καὶ τοῖς περιφανέσιν ἔν τε πλούτῳ καὶ πόλεσι
καὶ στρατεύμασιν, ὁ δὲ οὐκ ἔπαθέ τι ἀνθρώπινον, οὐ συν-
εστάλη, οὐκ ἔπτηξεν, οὐκ ἔτρεσε τὸ θηριῶδες τοῦ Ἰταλοῦ καὶ
πρὸς τὰς μάχας ὀξύρροπον καθά γε κάπρου πρὸς ξίφος
ἐνθορνύοντος, οὐδὲ τὴν κατασχοῦσαν ἐξ αὐτῶν δειλίαν
Ῥωμαίους ὡς ἐμποδὼν ὑπετόπασεν, ἀλλὰ πάντα περιφρονήσας
καὶ πᾶσιν ἑαυτὸν ἀντιθεὶς καὶ ἀντὶ πάντων μόνον ἑαυτὸν
ἀντίσταθμον τοῖς πράγμασιν ἡγησάμενος ἀσπάζεται τὴν
κατὰ τῶν Ἰταλῶν μάχην καὶ τὴν εἰρήνην ὡς μηδὲν ὀνοῦσαν
ἐκπέμπεται· μετὰ γὰρ τοῦ δικαίου κρείττων εἰρήνης ὁ πόλε-
μος. δεινὸν γὰρ ἡγεῖτο καὶ ψυχῆς ἀγεννοῦς φρόνημα τὸ
τὴν πρῴαν ἀρχὴν καὶ τούτῳ προσήκουσαν ἔκπαλαι ὀφθαλ-
μοῖς ὁρᾶν γεωργουμένην ὑπ' ἀλλοτρίων καὶ καρπουμένην,
καὶ ὡς οἰκεῖον λογίζεσθαι κήπευμα.*

I 34, 17 sq. 7. *Τοὐντεῦθεν συρρήγνυσι μάχην τοῖς Ἰταλοῖς, καὶ ὑπερασ-
πίζει τοῦ δικαίου θεός, καὶ τῆς ἀνδρείας ἐκείνου καὶ*
1224 *γενναιότητος ἀναδείκνυνται τὰ προοίμια· ἐξήττηνται γὰρ
κατὰ κράτος οἱ Ἰταλοὶ καὶ νικῶνται νίκην οἵαν ἰδὼν ὁ ἥλιος
γέγηθε. βαβαὶ οἷον τὸ ἡλιακὸν φῶς Ῥωμαῖοι τότε τεθέανται,
ὁποίαν τῆς ἡμέρας τὴν χάριν, οὕτω κατατροπωσάμενοι
τὸ ἀλλόφυλον καὶ πᾶσαν αὐτῶν τὴν ἀποσκευὴν σκυλευσάμενοι
αἰχμαλώτους τε ξύμπαντας ἁπαξαπλῶς ἀναγαγόντες καὶ
σχοίνῳ δουλείας καταδεσμεύσαντες λαφύρων τε ἀπείρων*

---

12 *ἔχουσιν* scripsi *ἐχόντων* cod. **23** *ἀγενοῦς* cod. **34** *ἀναγόντες* cod.

ἐμπλησθέντες παντοδαπῶν καὶ παντοίας πλησθέντες τῆς χαρμονῆς. ὡς γοῦν ταῦτα ξυμβαίη, καὶ ὁ ὑψαύχην κατέπιπτε καὶ ὁ τὰς ὀφρῦς ἐπαίρων ὑπεχαλᾶτο τοῦ κεναυχήματος, καὶ τὸ φύσημα κατεβέβλητο καὶ τὸ φρύαγμα χαῦνόν τε καὶ ἀδρανὲς ὑπεφαίνετο.

8. *Ἐντεῦθεν τὰ ἐν ἡμῖν ἀνεζωπυρεῖτο καὶ ἐθερμαίνετο, ἐκείνων ἀποψυχομένων καὶ νεκρουμένων, καὶ ἀνήγετο κατὰ μικρὸν οὐ καταφρονητοῖς τοῖς ὑψώμασιν. ἐξελήλατο γοῦν Ἰταλὸς τῶν Ῥωμαϊκῶν χωρίων καὶ ἄστεων, καθ' ἕκαστον τούτων μάχην ὑποστὰς κρατεράν, ἐν χειμώνων ἀκμαῖς, ὁπότε ὕει πολλὰ καὶ νιφετοῖς παλύνονται ἄρουραι, ὁπότε ἄγαν πήγνυται ὕδωρ καὶ τῷ ἄγαν τοῦ ψύχους καὶ γεωργὸς καὶ ποιμὴν παντελῶς ἀργεῖν κατακέκρινται καὶ ὁ μὲν τοῖς οἰκήμασι περικέκλεισται, ὁ δὲ σπηλαίοις ἐνδιατέτριφε μηδ' ἀτενίσαι τῷ ἀέρι δυνάμενος, καὶ ἐν μέσοις πάλιν τοῖς θέρεσιν, ὁπότε ἄνθρωπος πᾶς παρὰ πηγαῖς ἐμφιλοχωρεῖν ἐθέλει καὶ τοῖς ἐκ δένδρων σκιάσμασι, τεχνητοῖς ἐκ ῥιπισμάτων ἀναψυχόμενος πνεύμασιν. ἀλλ' ὁ ἀκάμας ἐκεῖνος καὶ τὰ σῶμα μὲν ἀδαμάντινος καὶ ἀνένδοτος πρὸς τὰς τοῦ ἀέρος ἐναντίας ποιότητας, ἄτρεστος δὲ τὴν ψυχὴν πρὸς τὰς τῶν ἀντιπάλων κινήσεις καὶ τὰ ὁρμήματα, οὐδέν τι πρὸς τούτων ἐμαλθακίζετο οὐδὲ τὸ σύντονον ὑπενεδίδου πρὸς τὸ πολὺ τοῦ χρόνου καὶ τὸ τοῦ μόχθου βαρύ. οὐδὲ καιρὸς αὐτῷ τὴν μάχην ὡρίζετο, πάντα καιρὸν οἰόμενος ἐπιτήδειον τοῦ οἰκείου λάχους προκινδυνεύειν καὶ ὑπεραγωνίζεσθαι τοῦ τούτῳ πεπιστευμένου συμφερόντως παρὰ τοῦ κρείττονος, ἀλλ' ἦν αὐτοῦ τὸ ὅπερ ἂν ἄλλος ᾠήθη τέλος ἀρχή, καὶ ὅπερ ἕτερος ἐξειργασμένος ἀρκεῖν ἂν ἐλογίσατο, αὐτὸς ὡς εἰ μηδὲν γέγονεν ὑπελάμβανεν. οὐκ ἔφθασε γὰρ ἐν τῇδε τῇ μάχῃ στῆσαι τὸ τρόπαιον, καὶ μάχης ἑτέρας καὶ ἀγώνων ἄλλων εἰσήγετο πρόφασις· καὶ ἤχει παραυτίκα τὸ ἐνυάλιον καὶ οἱ θώρακες ἔστιλβον καὶ τὰ δόρατα ἔφρισσον καὶ αἱ ἀσπίδες προυβέβληντο καὶ ἡ τῆς μάχης σύρρηξις παρευθύς, προμαχοῦντος ἐκείνου καὶ προκινδυνεύοντος τῶν πολλῶν. καὶ*

---

4 *τι* cod. 11 *παλλύνονται* cod. 17 *τεχνιτοῖς* cod
26 *τῶ τούτου πεπιστευμένω* cod.

γὰρ τὰ τῶν ἄλλων τὸ δόρυ τούτου προυλάμβανε, καὶ ὁ fol. 127 r *ἵππος τοὺς τῶν ἑτέρων ὑπερήλλετό τε | καὶ ὑπερίπτατο, καὶ ὁ πολέμιος ταῖς αὐτοῦ χερσὶν ἐτιτρώσκετο, καὶ πάλιν νίκη καὶ πάλιν μέγα τὸ τρόπαιον.*

9. *Οὕτως αὐτοῦ τὰ τῆς μάχης ἀλληλουχούμενα καὶ οὕτως αὐτοῦ τὰ τῆς νίκης περικροτούμενα. τί γοῦν θαυμαστόν, εἰ τοσοῦτος ὢν τὴν ἀνδρείαν, τοιοῦτος δέ γε τὴν φρόνησιν, κατ' ἄμφω δὲ τοῖς ξύμπασιν ἀπαράμιλλος, οὕτω δὲ καρτερικὸς πρὸς τὰ μάχιμα, ἐς τοσοῦτον πλάτος τὰ τῶν Ῥωμαίων ἐμεγέθυνεν ὅρια, ὧν ὁπόσον τὸ μέγεθος καὶ ἡλίκος ὁ δρόμος ἆρον κύκλῳ τοὺς ὀφθαλμοὺς καὶ ἴδε σύμπας τε Ῥωμαῖος καὶ ὁ ἐπιχωριάζων ἀλλογενής. ἑῴα μὲν λῆξις ὑπετέθη πᾶσα τῷ βασιλεῖ τῆς Ἰταλικῆς ἐλευθερωθεῖσα χειρός, πάντα δὲ τὰ κύκλῳ ταύτης ὡς οὐδεπώποτε καθημέρωνται. ὁ γὰρ Πέρσης τὴν* I 68, 20 sq. *ἡσυχίαν φιλεῖ ὁ τὰς μάχας ἔχων ἐντρύφημα, ὁ ταχὺς ἐφαλέσθαι* I 89, 10 *καὶ σκυλεῦσαι καὶ ἐκφυγεῖν· τούτου καὶ τὸ τόξον κεχάνωται καὶ τὸ βέλος οἱ κατέθραυσται καὶ τὸ δόρυ συγκατέτριπται, πολλὰ παθόντος ἐν διαφόροις ἐναντιώσεσι καὶ πολλοὺς τῶν οἰκείων ἀποβαλόντος καὶ τῶν περιφανεστέρων ὀλέσαντος. περαιωθήτω μοι καὶ πρὸς τὰ ἀντίπεραν ὁ λόγος, λέγω δὴ τὰ ἑσπέρια. τίνι ἂν κατὰ νοῦν ἐπῄει ποτὲ ὁ τοσοῦτος εὐδαιμονισμὸς Ῥωμαίων καὶ τὸ περίδοξον; ποῖος νοῦς τοιαῦτα δὴ τἀγαθὰ γενήσεσθαι ἡμῖν ὑπετόπασεν; πᾶσα δυσμὴ τοῖς τοῦ βασιλέως πίπτει ποσὶ καὶ γόνυ κλίνει καὶ δεσπότην πεφήμικε. Τριβαλλὸς ἡμῖν ὁρίζει τὰ τῆς ἑσπέρας, μᾶλλον δὲ οὐκ αὐτός, εἴ γε καὶ δοῦλος λογογραφεῖται καὶ ὡς θεράπων ὑποκύπτει τῷ βασιλεῖ καὶ δύναμιν στρατιωτικὴν ὡς ὑπόφορος διδόναι καταναγκάζεται. Μυσὸς ἑτέρωθεν τάχα περιγράφει τὰ ὅρια, ἀλλ' οὐδ' αὐτὸς περιγράφει· τὸ γὰρ ἀληθὲς καὶ οὗτος τοῖς ὑπὸ τοῦ βασιλέως συντάττεται. μικρὸν περὶ τὴν ἑσπέραν τὸ σπαῖρον ὅπερ οὐκ ἐπεφθάκει χειρώσασθαι, τὰ περὶ Πελοπόννησόν φημι καὶ τὸν Εὔριπον καὶ ὅσαπερ ἔτι τοῖς Ἰταλοῖς τυραννεῖται καὶ ὑποτέταται.*

10. *Τοιαῦτα ἐκείνου τὰ ἀγωνίσματα, τοιαῦτα ἐκείνου τὰ*

---

16 *κεχάννωται* cod. **17** *κατατέθραυσται? συγκατατέτριπται?* **33** *ὑποτέτταται* cod. *ὑποτέτακται?*

κατορθώματα. ταῦτα Ῥωμαίους πείθει θρηνεῖν, ταῦτα στένειν βιάζει καὶ κρουνηδὸν τῶν ὀφθαλμῶν ἐκπέμπειν τὰ δάκρυα, τῶν προτέρων μὲν μεμνημένων δυσπραγημάτων καὶ ὧν τὴν πεῖραν οὐκ ἄν τις οὕτως ἤλπισεν ἐκφυγεῖν, ἐν ὑστέροις δὲ τῶν λαμπρῶν καὶ περιβοήτων ἀριστευμάτων, ἐξ ὧν ἡμῖν τὰ τῆς εὐπραγίας καὶ ὁ μέγας οὗτος εὐδαιμονισμὸς ἐπεισήρρηκε καὶ τὸ ἐν γλώσσῃ ἁπάντων κεῖσθαι ὡς τῶν ἄλλων ὑπερκειμένους ἐν πλουτισμοῖς, ἐν εὐετηρίαις, ἐν εὐτυχήμασι, πάντας δὲ ἐχθραίνοντας πεφοβῆσθαι καὶ συνεστάλθαι συμβέβηκεν, ἀνδρειοτέρους ἁπάντων ἀνθρώπων ἡγημένους εἶναι Ῥωμαίους, ὑπ' ἐκείνῳ τῷ γενναιοτάτῳ καὶ στρατιώτῃ καὶ στρατηγῷ καλῶς ἐκπαιδευθέντας τὰ ἐνυάλια καὶ τὸ μὴ τετρεμαίνειν ἐξησκηκότας ἀντίπαλον, κατὰ ξιφῶν δὲ κυβιστᾶν εἰ δεήσειεν, οὐχ ὑπὲρ τῆς ἑαυτῶν μόνον μαχομένους εἰ τύχοι, ἀλλὰ καὶ τῶν ἀλλοτρίων ἐφιεμένους τὸ τολμηρότερον.

11. Οὕτω χρέος Ῥωμαίοις τὸν βασιλέα πενθεῖν, οὕτως ὀφειλὴ ἀπαραίτητος τὸν σφῶν δεσπότην ἀπολοφύρεσθαι. ἔδει δὲ κἀμέ, ὦ παρόντες, πάλαι ῥητορεύειν δεδυνημένον καὶ τὴν γλῶτταν ἐν τῷ λέγειν γε τεθηγμένον μὴ τοιούτοις λόγοις δεξιοῦσθαι τὸν αὐτοκράτορα μηδὲ τῶν τοσούτων εὐεργετημάτων οὕτως ἀμείβεσθαι· οὐ λέγω δὴ τὰς κοινὰς ταύτας καὶ πανδήμους εὐετηρίας ὧν καὶ κοινὴ ἡ ἀπόλαυσις, πόλεών φημι ἀναρρύσεις ἑτέρων τε ἀναστάσεις ἢ ἀνοικοδομήσεις, ἐχθρῶν καταπτώσεις, ἐνίων δὲ καὶ καταδουλώσεις, οὐδὲ τὴν ἁπάντων Ῥωμαίων ἐλευθερίαν καὶ εὐεξίαν, οἷς ἡ τῆς δουλείας νόσος παρὰ τοῖς ἐναντίοις τὸ ἐπονείδιστον, οὐδὲ τὴν τοῦ γένους πλάτυνσιν εἴτε ὕψωσιν ἢ ὅπως ἄν τις ἐθέλῃ καλεῖν· οὐδὲν ἐκ τούτων φημὶ τῶν κοινῶν, ἀλλ' ἤδη ἕτερόν τι καὶ προσφιλέστερον. ἐξ ἐκείνου γὰρ τοὺς λόγους εἰλήφειμεν καὶ ὅπερ νῦν ἐσμεν ἐγεγόνειμεν, τῷ βασιλεῖ ἀνατεθραμμένοι καὶ προστάγμασιν ἐκείνου καὶ ἀναλώμασι πεπαιδευμένοι τὰ λογικά. ἔδει γοῦν ὡς ἔφην μὴ τοιούτοις λόγοις ἀλλ' ἑτέροις σεμνύνειν αὐτόν, εἴτουν οὐ θρηνητηρίοις ἀλλ' ἐπαινετηρίοις, οὐ γοεραῖς ταῖς φωναῖς ἀλλ'

3 μεμνημένους? 13 τετρεμμαίνειν cod. 15 τύχει cod. 23 ἀναρρήσεις cod. ἀναρρήσεις ἑτέρων τε bis cod. 25 ἧς cod. 33 εἴτουν cf. 34, 30.

εὐφημούσαις ταῖς λαλιαῖς, οὐδὲ δεδακρυμένοις προσώποις αὐτῷ προσυπαντᾶν, ἀλλὰ φαιδραῖς καὶ γεγανωμέναις ταῖς ὄψεσιν. οὕτως ἡμᾶς ἔδει τοὺς λόγους ποιεῖσθαι καὶ οὕτως ἐκεῖνον ἀμείβεσθαι. ἀλλὰ τούτους μὲν περιεῖλε τῷ τότε μετὰ τῆς συγχύσεως τῶν πραγμάτων καὶ ὁ καιρός· πάλαι γάρ μοι ταῦτα τὴν γλῶτταν ἐπέδησεν, ὅπως δὲ καὶ ὅ,του χάριν λέγειν οὐκ ἔνεστι· τέως οὖν γε ἐπέδησεν. ἀλλὰ νῦν ἡ τοῦ βασιλέως μετάστασις λύει ταύτην κακῶς καὶ διαρρήσσει τοὺς δεσμοὺς δυστυχῶς, καὶ ῥήτωρ ἐγὼ δυστυχέστατος ἐπ' ἀκροαταῖς ὑμῖν βαρυπενθέσι καὶ μελανείμοσι τὴν ἀπαγγελίαν ἐπεξεργαζόμενος.

12. Ἀλλ' ὢ τί πάθω; πῶς ἂν ἐξειπεῖν δυναίμην τοῦ κατασχόντος πάθους Ῥωμαίους τὸ μέγεθος; πῶς ἂν λόγῳ παραστήσαιμι τὸ συμβάν; εἰ γὰρ ἑνὸς ἀγαθοῦ στρατιώτου πεσόντος ἢ στρατηγοῦ τὸ σύμπαν ὀλοφύρεται στράτευμα καὶ ἀποκλαίεται τὸ δυστύχημα, πῶς τοσούτου βασιλέως καὶ τοιούτου τὴν ἀρετὴν τὸ βιοῦν μεταλλάξαντος, οὗ τὰς ἀπείρους νίκας καὶ τὰ κατ' ἐχθρῶν ἀριστεύματα μακραί τινες βίβλοι παρὰ σοφῶν συντιθέμεναι δυσχερὲς ἂν ἦν ἐφερμηνεῦσαι πρὸς τὴν ἀκρίβειαν — πῶς οὖν τοιούτου συνηντηκότος Ῥωμαίοις τοῦ δυσπραγήματος οὐ πᾶς τις ἀπλέτοις τοῖς κωκυτοῖς ἀποκλαύσεται καὶ βύθιόν τι στενάξει καὶ γοερὸν ἀνοιμώξει καὶ ἐλεεινὸν ὀλολύξειε καὶ δρύψει μὲν τοῖς ὄνυξι παρειάς, ἐκτιλεῖ δὲ τρίχας τῆς κεφαλῆς, τέφραν δὲ αὐτῆς καταπάσειε, καὶ ἱμάτιον σχίσει καὶ σάκκον ἐνδύσεται καὶ σύμπαν πένθιμον ὀλολύξειε; παγκοσμίους μὲν γὰρ συμφορὰς καὶ οἰκουμενικὰ παθήματα καὶ πάγκοινα ὀλοθρεύματα ταῖς ἱστορίαις προσχόντες κατὰ νοῦν ἠρυσάμεθα, σεισμούς τινας γεγενημένους δεινοὺς καὶ τμημάτων γῆς μεγίστων κατερειπώσεις θαλάσσης τε ἐκβρασμοὺς καὶ ἀνθρώπων καταποντώσεις ἐμπρησμούς τε αὖθις σφοδροὺς καὶ ἄστεων μεγίστων ἐκκαύσεις· πολεμεῖ γὰρ ἅπαν στοιχεῖον τὸν ἄνθρωπον καὶ πῦρ καὶ ὕδωρ καὶ ὁ ἀήρ, τῶν φυσικῶν ὁρίων ἐκστάντα καὶ τῆς συνήθους ὑπερβλύσαντα τάξεως· καταδρομαὶ δ' ἀλλοφύλων ἄλλοις

---

1 δακρυμένοις cod. 21 πᾶς τις scripsi πάσοις cod. 24 καταπάσσειε cod. 32 ἀνθρώπον cod.

γεγόνασι, καὶ ἐπισυμβέβηκε τὸ αἰχμάλωτον ἀνδραποδισμοί τε ἀνδρῶν, καὶ γυναῖκες σὺν ὑπομαζίοις ἦμαρ εἶδον τὸ δούλιον· ὑετῶν δ' αὖθις ῥαγδαίων καταφοραὶ παρά τισι συμβεβήκασιν, ἐξ ὧν τὸ πᾶν κατακλύζεται. δεινὰ μὲν οὖν ταῦτα καὶ ὄντως παγχάλεπα καὶ φυσικοῦ θανάτου βαρυαλγέστερα· τοῦτον μὲν γὰρ οἶδεν ἡ φύσις καὶ οὐ καινὸν τὸ γινόμενον, | ἐκεῖνα δὲ κίνησις στοιχείων ἔπαιξεν ἄτακτος ἢ fol. 127v τύχη δεδραματούργηκεν ἄστατος.

13. Πολλὰ μὲν οὖν ἐπισυμβαίνει διὰ ταῦτα τοῖς ἀνθρώποις ἀνιαρά, τὰ μὲν πλατυκώτερον τὰ δὲ ἰδικώτερόν τε καὶ μερικώτερον· οὐδὲν δὲ τοιοῦτον ἀλγεινὸν ἐπιγίνεται οἷον ἀπολέσθαι ἄνδρα ἡγεμόνα, τὴν ἀρχὴν ἐπιστήμονα, καλὸν τὰ πάντα, τὸ εἶδος τὴν ἰσχὺν τὴν ἀνδρείαν τὴν δικαιοσύνην τὴν φρόνησιν, πρὸς ἐπὶ τούτοις τὴν καλοκαγαθίαν καὶ ἡμερότητα, ἃ πατρὸς λόγον ἐπέχειν τοῖς ὑπὸ χεῖρα τὸν κρατοῦντα ποιεῖ. ἀλλὰ τὰ μὲν τῆς ἀνδρείας ἐκείνου γνωρίσματα τοῦ στερροῦ καὶ καρτερικοῦ καὶ βεβηκότος ὡς τὸ τετράγωνον, τοῦ ὀξυτέρου πνεύματος ἢ πυρὸς ὁπότε καιρὸς καλοῖ καὶ ἀκμὴ κατεπείγει καιροῦ, κατὰ ταὐτὰ δὲ καὶ τὰ τῆς φρονήσεως σύμβολα, ἣ πασῶν τῶν ἀρετῶν ὑπερτέθειται ἢ μᾶλλον κρεῖττον εἰπεῖν ἣ τὰς ἀρετὰς εἰδοποίησε καὶ ἀρετὰς εἶναι καὶ ὀνομάζεσθαι πέπεικε, τούτων δὴ πάντων ὡς ἐνὸν ἡμῖν καὶ ὡς ὁ καιρὸς δίδωσιν οἱ χαρακτῆρες καὶ τὰ ἰνδάλματα προκεκέντηνται· ἐπεὶ δὲ καὶ καλοκαγαθίας καὶ ἡμερότητος ἐμνήσθημεν, ἐνταῦθά μοι τοῦ λόγου τὰ δάκρυα προπηδᾷ ἀναλογιζομένῳ τὴν τούτου περὶ τοὺς ἐπταικότας συμπάθειαν, οἶμαι δὲ καὶ πάντες ἐν τούτοις πλέον θρηνήσετε. ἀναπολέσατε καὶ γὰρ κατὰ νοῦν· τέθνηκέ τις καὶ ἐπὶ μεγίσταις αἰτίαις πρὸς τοῦ αὐτοκράτορος ἄνθρωπος; καὶ τοῦτο μὲν ἂν οὖν καὶ ἐπὶ χρόνοις ὀλίγοις τὴν ἀρχὴν ἀνύσαντος περιβόητον, ἐπὶ τούτοις δὲ διαπρέψαντος πόσῳ θαυμαστὸν καὶ ἐξαίσιον. τίς γὰρ ἔγνω παρ' ἐκείνου τινὰ βιαίως τὴν ψυχὴν ἀπορρήξαντα, οὐ λέγω γοῦν ἐπὶ μετρίοις ἢ καὶ μικρὸν μείζοσι πταίσμασιν, ἀλλ' ἐπὶ μεγίσταις ἄγαν ταῖς ὑποθέσεσιν, ἐπὶ χαιρεκάκοις ἄγαν καὶ δολεραῖς ἐπ'

---

19 κατεπείγοι?

I 37, 10 sq. *ἀνταρσίαις; τὸ δὲ τελευταῖον καὶ πρώτιστον τῶν κακῶν ἐπὶ τυραννίσιν αὐταῖς — ἅμα τε γὰρ ἥλω ὁ τυραννίδα βουλευσάμενος κατ' αὐτοῦ — ὦ δίκη καὶ ἀρετή! ὁ κατὰ τίνος τίς! — κἂν ὁποῖος ἄρα καὶ ἦν ὁ τοῦτο σκαιωρήσας τὸ δολορράφημα, εἰ μόνον ἤσθιεν ἄρτου καὶ ὕδατος ἔπινεν καὶ τῶν θνητῶν ὠνομάζετο, ἅμα τε γοῦν, ὡς ἔφην, ἥλω καὶ εὐθὺς ἠλέηται, ἢ ῥῖνα ἀποτμηθεὶς ἢ χεῖρα ἀποκοπεὶς ἤ, τὸ μέγιστον, ἐξορυχθεὶς ὀφθαλμούς· ὁ πρῶτος ταῦτα τοῦ δράματος, πολλοὶ δὲ τῶν συνιστόρων οὐδ' ἐγίνωσκον τὴν ὀργὴν οὐδὲ τὸν χόλον ὑπέμενον, ἀλλ' εὐθὺς ὑφωρῶντο καὶ ἀπελύοντο. ταῦτα δὲ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις ἐπισυνέβησαν. κἀκεῖνος μὲν οὕτως ἀφίει τοὺς δεινοὺς καὶ παλαμναίους ἀλάστορας τοὺς περὶ αὐτὸν ὀφθέντας κακούς, οὓς εὐηργέτει τὰ μάλιστα καὶ οἷς ἀπειροπλάσια τὰ δωρήματα, θεὸς δὲ καλῶς τὰς κρίσεις ἐδίκαζεν. ὁ μὲν γὰρ βασιλεὺς ἠλέει, ᾔδει γὰρ σκεπόμενος πρὸς τοῦ κρείττονος, ὁ δὲ ἐμαστίγου καὶ ἔπληττε τὸν μὲν νόσοις ἀνηκέστοις καὶ μακροχρονίοις ταῖς κατακλίσεσι, τὸν δὲ καὶ αἰφνιδίῳ θανάτῳ τὸν πάντα χρόνον ὑγιῶς τοῦ σώματος ἔχοντα, ἄλλον πολλοῖς περὶ μάχην συνόντα μόνον ἀποχωρήσας καὶ οἷα σκοπὸν φλαύρου ἀνδρὸς ὑποθέμενος ὀϊστεύματι, καὶ ἁπλῶς εἰπεῖν ἅπαντας ἄρδην τῷ τῆς γῆς μυχῷ παραπέπομφεν· οὕτω θεὸς οἶδε διεκδικεῖν τοὺς ἐπ' ἐκείνῳ ἐλπίζοντας, καὶ οὗτοι πρὸς καιρὸν τῶν ἐγκλημάτων τούτους ἀνήσουσι.*

14. *Τὰ δ' ἄλλα τῆς ἱλαρότητος αὐτοῦ καὶ πρᾳότητος ποῖος ἂν καυχήσαιτο ἐξυμνήσασθαι; καὶ Δαυὶδ ὁ πρᾳότατος — ἱλήκοι δὲ οὑτοσί — ὑπ' ἐκείνου ἂν οἶμαι μόνου νενίκηται. ἡμάρτανε γάρ τις, καὶ μέχρι λόγων ἡ κάκωσις ἢ μετρίων πληγῶν, τὸ δεινότερον. ὑπέμενε δὲ καὶ λόγους τραχυτέρους ἐκ θρασυστομούντων προφερομένους, ὡς ψόφους εἰς ἀέρα διαλυομένους οἰόμενος, καὶ πράξεις ἀτακτοτέρους διέφερεν, ἀντισταθμίζεσθαι γνοὺς ὑπὸ θεοῦ τοῖς ἐλεοῦσι τὸν ἔλεον καὶ τῷ φιλανθρώπῳ ἀντιμετρεῖσθαι ἡμῖν τὸ φιλάνθρωπον. ταῦτα ἐκείνου καὶ τὰ τῆς πρᾳότητος σύμβολα, ταῦτα τῆς προση-*

---

3 ὁ] ὦ? 5 *ἄρτον* cod.

νοῦς καρδίας τεκμήρια, οἷς θεὸς ἐπιγάννυται, οἷς ἐπιχαίρει σύμπαν ὑπήκοον.

15. Ἔγωγε μέν, ὦ παρόντες Ῥωμαῖοι οἱ τῷ πάθει συνειλεγμένοι καὶ πρὸς θρηνῳδίας ἑαυτοὺς εὐτρεπίσαντες, ἐκπέπληγμαι μὲν ὑπὸ τῶν πολλῶν καὶ μεγάλων τοῦ αὐτοκράτορος ἀγαθῶν καὶ τῆς ἀβύσσου τῶν ἀρετῶν καὶ τοῦ ἀπείρου τῶν ἀριστειῶν χεύματος. ἀδυνατῶ δὲ ὅλως πρὸς περιήγησιν, καὶ βούλομαι μὲν ἐξειπεῖν τι τῶν ἀριστουργημάτων αὐτοῦ καί τι τῆς καλοκαγαθίας συμπλέξασθαι, ἀλλ' ἀπειρία τυγχάνει καὶ ἐν ἀμφοῖν, καὶ ἐν οἷς ἂν ἄλλος εἶχε λέγειν πολλά, ἐν τούτοις ἔγωγε πάσχω τὸ ἄναυδον, καὶ τὸ πολὺ τῆς πλημμύρας τὸ λειψυδρεῖν προξενεῖ, ὡς ἐν τοῖς τῶν ἀγγείων συστόμοις εἴπερ ἄθρουν ὕδωρ ἐπενεχθῇ οὔκουν εὑρίσκει παρείσδυσιν. οὕτω δὴ καὶ ἐπί τισι μεγίσταις συμβαίνει τῶν ὑποθέσεων, αἳ προσυπαντῶσι ποσῷ τε ἀπλέτῳ καὶ ὑπερφυεῖ μεγέθει τοῖς γράφουσι. θαυμάζεται μὲν Τῖτος ὁ καῖσαρ ὅτιπερ ἐν καιρῷ αὐχμοῦ παρόντος ἅπαντος τοῦ στρατεύματος ἀποβὰς τοῦ ἵππου εἰς οὐρανὸν τὰς χεῖρας ἀνέτεινεν 'αἰδέσθητι ταύτας' λέξας 'θεέ, αἵτινες οὐκ ἔχυσαν αἷμα ἀνθρώπειον, καὶ πέμψον ὑετὸν ἐπὶ γῆς', καὶ παραυτά φασιν ὗσαι ῥαγδαῖον ἐπὶ σφίσιν αὐτοῖς. ἐπαινεῖται καὶ ὁ τοῦ Ἰσραὴλ Ἰωσὴφ σιτοδότης Αἰγύπτου γενόμενος καὶ προϊδὼν τὸν καιρὸν καὶ καταπραγματευσάμενος τὸν καιρόν. τοῦ δὲ ἡμετέρου βασιλέως τὰς χεῖρας κρειττόνως ἂν οἶμαι τὸ θεῖον ᾐδέσθη. τοῦ γὰρ Τίτου τὴν αὐτοκρατορίαν χρόνος διέγραψε μέτριος, αὐτοῦ δὲ τὴν κραταρχίαν αἰὼν ἐγνώρισεν οὐ σμικρός, ἐν ᾧπερ ἅπαντι οὐ λύθρου αἴτιος ἀνθρωπίνου γεγένηται οὐδὲ βρότον ἔσχεν ἡ γῆ παρὰ τῶν ἐκείνου πεπαλαγμένον χειρῶν. τάχα γοῦν οὐχ ὑετὸν μόνον εἴπερ ἐβούλετο καθείλκυσεν ἐκ νεφῶν, ἀλλὰ καὶ πέτραν διέρρηξε καὶ ὕδατα εὐθὺς διερρύησαν καὶ διὰ θαλάσσης ἔβη ὡς διὰ χέρσου στερρᾶς* τὰ Μωσαϊκὰ πληρῶνται στρατεύματα. Ἰωσὴφ δὲ τὴν σιτοδοσίαν ἐμιμήσατο μέν, πλὴν οὐχ οὕτως οὐδ' ἐπ' αἰσχροκερδέσι τοῖς

---

16 Tito attribuit scriptor, quae de Marco Aurelio et legione fulminata Cass. Dio LXXI 9 aliique tradiderunt. **22** Gen. 41, 30. **28** *πεπαλαγμένον* cod. **31** lac.; *πληρῶνται* ad Exod. 16. ref?

λήμμασι· προῖκα γὰρ τὰ πλείω τοῖς δεομένοις ἀπεχαρίζετο, οἷς καὶ ἐς ἀεὶ τὸν ἔλεον ἐδαψίλευε.

16. *Πᾶσι μὲν οὖν ἦν ὑπανοίγων σπλάγχνα φιλάνθρωπα, μάλιστα δὲ τοῖς παρειμένοις τὰ ἄρθρα καὶ λελωβημένοις τὰ σώματα, ὧν τὸ δάκρυον λουτρὸν ἂν ἐκείνῳ πάντως ἐγεγόνει καθάρσιον καὶ σμῆξις ῥύπου σωματικοῦ. τί τοῦ Νῶε τὸ θαυμαστὸν καὶ ἐξαίρετον; οὐ τῆς κιβωτοῦ ἡ διάσωσις ἐν παγκοσμίῳ κατακλυσμῷ; τῷδε οὐ κιβωτὸς μείζων καὶ τιμιωτέρα, ἡ πᾶσα Ῥωμαίων χθών, διασεσωσμένη κοσμικοῦ καὶ παμφόρου τοῦ κλύδωνος, καὶ καθαρὰ ζῶα τὰ γνήσια ταύτης γεννήματα κατὰ πλῆθος ὑπεραραμένη τῶν χαλεπῶν, οὐ μὴν ἀλλὰ καὶ ἀκαθάρτων πλήθη τοῖς καθαροῖς συνεισάξασα καὶ καταποντισμοῦ μὲν ἐξοίσουσα τοῦ φαινομένου σαρκικοῦ, τὸ πλέον δὲ καὶ τοῦ νοητοῦ διασώσουσα; οὐχ ὁρᾶτε τὴν ἄπειρον πληθὺν τῶν Σκυθῶν; τούτους καὶ τῆς ἐξ ἐχθρῶν προσδοκωμένης βλάβης αὐτὸς ἠλευθέρωσε καὶ τῷ* fol. 128 r *λουτρῷ τοῦ βαπτίσματος λύμης τῆς ψυχικῆς | ἀπεκάθηρε· καὶ νῦν εἰσι Χριστοῦ πρόβατα, λύκοι ὄντες τὸ πρίν, ὑπὸ Χριστῷ τῷ πρώτῳ ποιμένι καὶ ἀρχιποιμένι πρὸς χλόης τόπον καὶ σωτηρίας καθοδηγούμενοι, καὶ κύνες δὲ ἐν καιρῷ τῶν κινουμένων καθυλακτοῦντες κατὰ τῆς τοῦ δεσπότου κληρονομίας καὶ τῶν θρεμμάτων αὐτῶν. ἆρ᾽ οὐκ ἔστι ταῦτα θαύματος ἄξια; ἆρ᾽ οὐκ ἐγγὺς τῶν Μωσαϊκῶν ἐκείνων σημείων τε καὶ τεράτων, δι᾽ ὧν θεὸς ἐδοξάζετο; τὸ δὲ τῶν Ἰουδαίων πενθήσει τις; οὓς ἔθνος τοσοῦτον καὶ ἀπρὶξ ἐνταλμάτων τῶν παλαιῶν ἀντεχόμενον καὶ τῆς σκιᾶς μεταποιούμενον καὶ τοῦ γράμματος οὕτω ῥᾷον καὶ παρ᾽ ἐλπίδα πᾶσαν πρὸς τὴν χάριν θᾶσσον καὶ τὴν ἀλήθειαν μετηγάγετο, λόγοις καταπείσας τοὺς ἀτεράσμονας καὶ δώροις καταμαλθάξας τοὺς σκληρογνώμονας, οὐ τῶν ἐτησίων μόνον φόρων πολλῶν ὄντων καταφρονήσας, ἀλλὰ καὶ προσεπιδοὺς πολλαπλασίονας δωρεάς.*

17. *Ταῦτα εἴπερ τις ἐξυμνεῖν κατὰ μέρος ἐβούλετο, δέκα ἂν αὐτῷ ἐπήρκεσαν γλῶσσαι, ὅσας ἐπηύξατο πλουτῆσαι ὁ ποιητής; ἔγωγε ἂν οἶμαι οὐδ᾽ ἂν ἑκατὸν ἢ τούτων πλείους*

---

15 *τούτοις καὶ τοῖς* cod. 19 *πρὸ* cod. 29 *ἀτεράμονας*?

οὖσαι κατὰ τὴν ἀξίαν εὐφήμησαν. ἀλλὰ ταῦτα μὲν οὕτως, εἰ πρὸς ἐγκώμιον ἐχώρησέ τις τὸ δυσκατόρθωτον, τάχα δὲ καὶ ἀδύνατον. ἐμοὶ δὲ οὐ λόγος εὐφημίας τὸ προβαλλόμενον, θρήνων δὲ πάντως καὶ ὀδυρμῶν· οὐ γὰρ ἐγκωμιάζειν ἀφίγμεθα, ἀλλὰ στενάζειν τοῖς λόγοις συνεληλύθαμεν. ναὶ γοῦν καὶ θρηνητέον ἡμῖν καὶ δακρυτέον τὸν αὐτοκράτορα ἆρ' οὖν, ὦ Ῥωμαίων πληθύς, πάντῃ καὶ ἐς ἀεὶ [εἰ]δακρύειν θέμις ἡμᾶς καὶ μηδένα χρόνον σχεῖν τοῦ πάθους ἀνακωχήν; μὴ λόγον χαρμονῆς ἐπιβαλεῖν τῇ ψυχῇ μηδ' ἡδονῆς μικράν τινα δρόσον τῇ καρδίᾳ σταλάξασθαι, ἣν πάντων μὲν κόρος ἐστίν, ὡς τῇ ποιήσει καὶ τῇ ἀληθείᾳ δοκεῖ; καὶ εἰ τῶν ἡδέων, πολλῷ γε πλέον τῶν λυπηρῶν. καὶ πῶς ἂν γένοιτο τοῦτο, φαίη τις ἄν, ἢ πῶς ἂν πηλίκης συμφορᾶς φανείημεν ἐπιλήσμονες; εἰ πρὸς τοῦτό γε ἀποροίητε, αὐτὸς ἐγὼ προσεπάγω τὴν λύσιν. αὐτὸς γὰρ ὑμῖν τὸ πάθος παραμυθήσομαι, αὐτὸς τὸ πάθος τῆς συμφορᾶς κουφότερον ἀπεργάσομαι, ψυχαγωγίας πόμα ὑμῖν ἀρτύσας καὶ συγκεράσας πρὸς παρηγόρημα. ἔστι τῇ ποιήσει φάρμακον γινωσκόμενον, ὃ πρὸς Αἰγυπτίας τινὸς γυναικὸς ἡ Τυνδαρὶς Ἑλένη χάριν ἐδέξατο· ‘τοῦτό’ Odyss. IV 220 sq. φησιν ‘εἰ πιών τις τύχῃ ποτέ, οὐκ ἂν εἰς ἦμαρ ἐκεῖνο λύπης κέντρον τὴν καρδίαν αὐτοῦ νύξει, οὐδ' ἂν πατὴρ ἢ μήτηρ ἢ ἀδελφὸς τεθνηκότες κεῖνται πρὸ ὀφθαλμῶν’. ὅ,τι μὲν οὖν τὸ τοιοῦτον φάρμακον βούλοιτο, εἰδοίη ἂν Ὅμηρος καὶ οἱ τοῖς ποιήμασιν αὐτοῦ βακχευόμενοι. ἔγωγε, ὦ Ῥωμαῖοι, οὕτω καταποθέντας πάντας εἰδὼς τῷ πελάγει τοῦ ἐπισυμβάντος ὑμῖν ἀνιαροῦ συναντήματος καὶ τῷ τῆς λύπης καταβαπτισθέντας ἢ καὶ παρασυρέντας ῥεύματι, αὐτὸς ἐξάξαιμι πρὸς ἀναψυχὴν καὶ φάρμακον ὑμῖν ἐκκεράσαιμι οὐκ εἰς ἦμαρ ἐνδεδυνημένον παύειν τῆς θυμαλγίας κατὰ τὴν ῥαψῳδίαν τοὺς πίνοντας, ἀλλὰ καὶ ἐς ἅπαντα χρόνον, ἀλλὰ καὶ ἐς αἰῶνας ὅλους τοὺς ταῖς ἑκάστων συμπαραμετρουμένους βιώσεσι.

18. Τάχ' ἂν ζητεῖτε τὸ φάρμακον καὶ ὅ, τι ἂν εἴη τοῦτο κατὰ νοῦν ἀναστρέφετε; ἔστι δὲ λόγος. τοῖς λογικοῖς μὲν

---

21 *νύξει* cod. **26** *συναντήμενος* cod. **31** *συμπαραμετρουμενων* cod. **33** *ζητῆτε* cod. **34** *ἀναστρέφεται* cod.

λόγοι τὰ φάρμακα ὡς αἱ βοτάναι τοῖς σώμασιν. ἔστι δὲ οὐ καινὸς οὗτος οὐδ' ὑμῖν ἀγνοούμενος, εἰ καὶ τρόπον ῥηθείη καινότερον. ὑμεῖς μέν, ὦ Ῥωμαῖοι, τεθνάναι ἡγεῖσθε τὸν βασιλέα· ὁ δέ γε οὐκ ἐτεθνήκει, ἀλλὰ καὶ πάλιν μένει βιῶν. μῶν ἀπορεῖτε περὶ τοῦ λόγου καὶ ὅπως ἂν πέφυκε τοῦτο οὐκ ἔχετε ξυμβαλεῖν; ἀληθῶς ὁ βασιλεὺς ἡμῶν ζῇ. οὐ λέγω ζωὴν τὴν τῇ νοερᾷ ψυχῇ σύμφυτον, καθ' ἣν ἅπαντες τεθνηκότες οὐ θνήσκομεν, ἀλλὰ τὴν ἐνταῦθα λέγω ζωὴν τὴν φαινομένην τοῖς ὄμμασιν. ἢ οὐχ ὁρᾶτε τὸν βασιλέα αὐτὸν τὸν υἱὸν ἐκείνου θεώμενοι; οὐκ αὐτὸς ἐκεῖνός ἐστιν οὑτοσί; οὐ χαρακτῆρσι σωματικοῖς, οὐκ ἰδιώμασι ψυχικοῖς ἐκείνῳ ἄντικρυς ἀφωμοίωται; οὐκ ἔμψυχος ἐκείνου εἰκών, οὐ φύσεως ἀγαλματούργημα τῆς αὐτῆς; οὐ τῷ πατρὶ συνῆρχεν ἐκ γενετῆς, οὐκ ἐπὶ τῶν αὐτῶν οἰάκων συνῆν τῷ τῆς ὁλκάδος κυβερνήτῃ τῆς κοσμικῆς, οὐ τῶν ἡνιῶν συναντελαμβάνετο τοῦ οἰκουμενικοῦ δίφρου καὶ τοὺς ἀγῶνας διήνυεν; αὐτὸς οὖν ἐκεῖνος ὁ βασιλεὺς ὁ ἡμέτερος, ὥστε μόνον οὐ δέον πενθεῖν, ἀλλὰ καὶ χαίρειν χρεών, τὸ παράδοξον. τὸ γὰρ οὑτωσὶ τὰ τῆς ἀρχῆς ἐκεῖνον διευθετίσασθαι καὶ εἰς αὔξην τὰ τῶν σφετέρων σχοινισμάτων τοιαύτην ἀπαγαγεῖν πλήρη τε γενέσθαι χρηστῶν ἡμερῶν, μὴ βιασθῆναι δὲ τὴν διάζευξιν τῆς ψυχῆς, φυσικοῖς λόγοις ὑποχαλασθείσης τῆς ἁρμονίας αὐτῶν, τοιούτῳ δὲ υἱῷ παραδοῦναι τὸ κράτος καὶ τὴν ἀρχήν, καλῷ μὲν ἰδέσθαι, νοῆσαι δέ γε καλλίονι, καὶ ἁπλῶς εἰπεῖν ἀρχικωτάτῳ τὴν ἀρετήν, καὶ οὕτω δὴ συμβῆναι τὰ πράγματα, ὡς μηδὲ γνωσθῆναι σχεδὸν τὴν τῆς ἡγεμονίας τοῖς ὑπηκόοις μετάθεσιν, πῶς οὐκ ἂν μᾶλλον ἡδονῆς
fol. 128 v ἢ λύπης ταῦτα παραίτια γένοιτο; | ἄνδρα καὶ γὰρ τεθνηκότα ἐπὶ υἱῷ καλῷ τε καὶ ἀγαθῷ καὶ ὁ τοῦ δήμου λόγος οὐκ ἀποθανεῖν ἀποφαίνεται.

19. Χαίρετε γοῦν, φῦλα Ῥωμαίων, χαίρετε καὶ τὰς φρένας γανύσκεσθε καὶ λόγοις ἡδυτέροις τὰς τῆς καρδίας πτύχας εὐφραίνετε. τοιούτου γὰρ ηὐμοιρήκαμεν αὐτοκράτορος — θαρρούντως τὸν λόγον ἐρῶ — οἷον οὔποτ' ἂν τὰ τῶν Ῥωμαίων ηὐτύχηκε. νῦν γοῦν εἴπερ ποτὲ τοῖς Ῥωμαίοις

---

32 γαννύσκεσθε cod.

ἐλπίς, ὡς τὰ τῆς εὐετηρίας ἐπαυξηθῇ καὶ τὰ τῶν εὐφραινόντων καταπτωθῇ· νῦν παγκόσμιος εὐφροσύνη γενήσεται εἰρήνης βαθείας ἐμφιλοχωρησάσης τῇ γῇ, εἰρήνης ἐξ ὀθνείων, εἰρήνης καὶ ἐξ ἰθανῶν, πάντων ἡμέρως ἐμβιοτευόντων καὶ ἀρκουμένων τοῖς ἑαυτῶν· οὐκ ἀδικήσει θάτερα ἕτερος, οὐχ ἅρπαγμα ποιήσει τοῦ πλησίον· ἕκαστος γὰρ ὑπὸ τὴν πίτυν αὐτοῦ τὸ τῆς προφητείας φάναι ἀναπαυθήσεται, οὐ κρίσιν παρακλαπήσεται ἢ παρελκυσθήσεται χρυσίνῳ βρίθει τοῦ ἰσορρόπου τῆς δίκης ζυγοῦ. οἶδε γὰρ οὗτος λόγους ἀδεκάστους προφέρειν ἐν κρίσεσι, στάθμου γενήσεται τῆς εὐθυδικίας ὡς ἀπαρέγκλιτος κανὼν τῆς εὐνομίας, τῇ ἀδικίᾳ μὴ ἀντικλώμενος. οὐ πρηκτὴρ καλαμήσεται γεωργούς, οὐ γραφαὶ τὰς οἰκίας τῶν πενήτων κενώσουσιν· οἶδε γὰρ οὗτος ἑτέρας γραφάς, δι᾽ ἃς τὸ ὑπὸ χεῖρα σωθήσεται. οὐ προστασία χώρων τοῖς θρασυτέροις ἢ ἀβελτήροις δοθήσεται, ἀλλὰ τοῖς ἐπιεικεστάτοις, οὐδὲ τοῖς θηριωδεστέροις, ἀλλὰ τοῖς φιλανθρωποτάτοις· οὐ γὰρ ἀρχὴν ἁρπακτὴρ καὶ λυμεὼν χειρώσεται ἄνθρωπος, τροφὴν ἔχων ἀνθρώπων βλάβην καὶ πόμα τούτων τὰ δάκρυα, ὃς τρυφᾷ τοῖς τοῦ πλησίον κακοῖς καὶ ἁρπαγαῖς χαίρει καὶ ἐμπαροινεῖ τῇ φύσει τῷ καιρῷ καταχρώμενος, ἀλλ᾽ αἰδοῖος ἀνὴρ ἐπιεικέστατός τε καὶ προσηνέστατος καὶ θεοῦ ὄπιν ἔχων τὸ τῆς ποιήσεως προκριθήσεται, ὁ συνέσει κεκοσμημένος, ὁ παιδείᾳ πεπυκασμένος, καὶ ὁ τοῦ δικαίου καὶ τοῦ ἀληθοῦς ἀντεχόμενος.

20. Οὐ γὰρ ἐξ ἱπποσύνης ἢ τοξοσύνης ἢ τοῦ πέμπειν εὐστόχως βέλος ἢ κραδαίνειν εὐφυῶς δόρυ ἢ ἀσπίδα προβάλλεσθαι δεξιῶς οὐδ᾽ ἐκ ταχυτέρων τινῶν κινημάτων τῶν μικρῶν ὄντων ἀξίων ὁ βασιλεὺς ἀρτίως ἐξώρμηται, ἅπερ ὡς ἐν μέρει παιγνίων πάλαι τούτῳ νενόμισται, εἰ καὶ εἰς ἄκρον ἐξείργασται, ἀλλ᾽ ἐκ λόγων καὶ βίβλων καὶ φιλοσοφίας αὐτῆς, ἀλλ᾽ ἐκ μαθημάτων καὶ ἐξ ἀκροτάτης τῶν ὄντων γνώσεως. ἀνάγκη γοῦν πᾶσα γενήσεσθαι τὸ θρυλλούμενον. ἔφη καὶ

---

7 Mich. 4, 4.

---

3 ἐξ bis cod. 10 σταθμοῦ? 17 ἀρπάκτηρ cod. 21 καταχρώμενοι cod.

γάρ τις τῶν παλαιτέρων ἐπιστημόνων ὡς τότε παύσουσι τῶν κακῶν αἱ πόλεις καὶ ἐμπεριπολεύσει ταύταις τὰ ἀγαθὰ, ὅτε I 49, 21 φιλοσοφήσουσι βασιλεῖς ἢ βασιλεύσουσιν οἱ φιλόσοφοι. ἐν τούτῳ δὲ καὶ ἄμφω συμβέβηκε· βασιλεὺς καὶ γὰρ ὢν εἰς ἄκρον πεφιλοσόφηκε καὶ φιλόσοφος γενησόμενος κραταιότερον βεβασίλευκεν. οὐχ ὁρᾶτε τοῦτον ἀριπρεπέστερον τοῦ Ὁμηρι- Il. II 478 sq. κοῦ Ἀγαμέμνονος, ὃν ἐκεῖνος εἰσάγει ἴκελον ὄμματα καὶ κεφαλὴν τερπικεραύνῳ Διί, ζώνην δὲ Ἄρεϊ, στέρνον δὲ Ποσειδῶνι; οὐδ᾽ ἂν βασιλῆι ἀνδρὶ ἐοικέναι αὐτὸν εἴποιμι, ἀλλά γε κατὰ τὴν Πυθίαν δίζω ἠὲ θεὸν ὀνομάσαι ἢ ἄνθρωπον· νικᾷ δὲ μᾶλλον θεὸν αὐτὸν καὶ εἶναί τε καὶ κικλήσκεσθαι. οὗτος ἐκ φιλοσοφίας θεοειδὴς ἀναπέφανται καθάπερ ἐκ γένους μὲν βασιλεύς, ἐκ δὲ φύσεως ἰσχυρός, ἐκ δ᾽ ἀρετῆς ἀνδρεῖος, ἐκ δὲ τῶν πραγμάτων πανάριστος.

21. Ἂν οὖν ὡς στύλον ὄντα Ῥωμαίοις αὐτῶν εἰς ὕψος αἴροντα τὰ φρονήματα κλάειν τὸν αὐτοκράτορα βουληθείημεν, ἰδοὺ στύλος ἄλλος ἡμῖν, τάχα δὲ καὶ στύλος πυρὸς τὸν νέον καθοδηγῶν Ἰσραὴλ εἰς ἐπαγγελίας γῆν, εἰς γῆν γάλακτος κρουνοὺς καὶ μέλιτος ἀπορρέουσαν, ἐξ ἧς κακῶς ἀπερρίφημεν· ἂν ὡς πύργον ἐντὸς πάντα φρουροῦντα καὶ ἀκίνδυνα διασώζοντα, ἰδοὺ πύργος ἐρυμνότερός τε καὶ ἀσφαλέστερος. δότε γάρ μοι λέγειν τὸ ἀληθές· οὐδὲ γὰρ ἀγανακτήσει πατὴρ τὰ κρείττω τοῦ υἱέως ἀκούοντος ἐν ὀνόμασιν, ὃν μείζω καλῶς ἐγνώρισεν ἐν τοῖς πράγμασι· συχνὸς γὰρ χρόνος ἐξ ὅτου πάντων ἀνθρώπων καὶ ἑαυτοῦ κρείττω τοῦτον ὁ πατὴρ ἀπεφαίνετο. πείθει γοῦν με καὶ ἡ τοῦ βασιλέως ἀπόφανσις καὶ ἡ τῶν πραγμάτων ἐνάργεια τοιαῦτα περὶ τοῦ βασιλέως διαμαρτύρεσθαι· ἐπεὶ γοῦν τὸν λόγον ἔχετε βέβαιον ὅτι μηδ᾽ ἀμφαγνοεῖτε τὴν πρόρρησιν, ἐχέσθω τῶν προτέρων μοι ὁ εἱρμός. ἂν οὖν ὡς δένδρον πάντα περιπυκάζοντα τὸν παρελθόντα ζητήσωμεν, ὡς ἐκ τῶν λυπηρῶν τὰ ὑπ᾽ ἐκεῖνον σκιάζοντα, ἰδοὺ δένδρον ἄλλο περιφανέστερον ὅσῳ καὶ χλωροτέροις φύλλοις κομῶν καὶ

---

17 Exod. 13, 21.

---

5 περιφιλοσόφηκε cod. φιλοσόφος cod.

ἐπιβρῖθον καρποῖς καὶ πρὸς μέλλουσαν καρποδοσίαν εὐθετιζόμενον· τούτου ταῖς σκιαῖς ἡμεῖς ἀναπαυθησόμεθα. ἂν οὖν ὡς κέντρον ἐκεῖνον ποθήσωμεν τὰ κύκλῳ περικρατοῦντα καὶ φέροντα, ἰδοὺ ἡμῖν κέντρον τρανότερον, μείζους ἐπὶ κύκλοις περιάγειν κύκλους δεδυνημένον καὶ ἄλλους ἐπ᾽ ἄλλοις κατὰ τὸ ἄπειρον. ἂν ὡς ἥλιον ἐκεῖνον κοσμικὸν ὑπειλήφειμεν καὶ ὑπ᾽ ἐκείνου καταφωτίζεσθαι ἔγνωμεν, ἤδη καὶ ἕτερος ἥλιος φανότερός τε καὶ καθαρώτερος ταῖς τῆς γνώσεως ἀκτῖσιν οὐ Ῥωμαίων γῆν μόνον ἀλλὰ καὶ πάντα περιλάμπειν ἔχων τῆς οἰκουμένης τὰ πέρατα. ἂν τοῦ συμπαθοῦς τὸν ἀπιόντα πενθήσωμεν, τοῦ συμπαθεστέρου τὸν περιόντα θαυμάσωμεν. ἂν τοῦ μετρίου ἐκεῖνον καὶ ταπεινόφρονος ἀποκλαύσωμεν, τοῦ μετριωτέρου τοῦτον ποθήσωμεν. οὐδενὸς οὖν, ὦ Ῥωμαῖοι, καλῶν τῶν πάλαι λειπόμεθα, μᾶλλον δὲ γε κρείττοσι καὶ τιμιωτέροις τούτοις ἐντετυχήκαμεν, ἀπ᾽ εὐπραγίας εἰς εὐπραγίαν μείζω μεταπηδήσαντες.

Τοῦ μεγάλου λογοθέτου Γεωργίου τοῦ Ἀκροπολίτου λόγος κατὰ Λατίνων, γραφεὶς αὐτῷ ὅτε ἐν τῇ δύσει κατάσχετος ἦν.

1. Ἄνδρες Ῥωμαῖοι, οἱ τῆς πρεσβυτέρας Ῥώμης ὁρμώμενοι, ἐβουλόμην μὲν καλεῖν ὑμᾶς ἀδελφοὺς ὡς ὁμογνώμονας καὶ ὁμόφρονας, ἐπεί τοί γε τοῦτο σκοπὸς τοῦ ὑπὲρ ἡμῶν τὸ καθ' ἡμᾶς προσειληφότος θεοῦ καὶ πάντα τὰ τῆς σαρκὸς ἐπιδείξαντος ἐν ἑαυτῷ ἰδιώματα ἄτερ μόνης τῆς ἐφαμάρτου ζωῆς· καὶ τοῦτο ἦν τὸ μέγα περὶ ἡμᾶς τοὺς ἀνθρώπους μυστήριον, ἵνα συνάψῃ τὰ πάντα ἐν ἑαυτῷ καὶ εἰς ὁμοφροσύνην συνάξῃ τῆς πίστεως, ὅπερ, κατὰ τὸν μέγαν Παῦλον, οὐχ Ἕλλην οὐ βάρβαρος οὐ Σκύθης οὐκ Ἰουδαῖος οὐδ' ἄλλο τι τῶν ἐθνικῶν ὀνομάτων παρείληπται, ἀλλὰ μόνον καὶ ὅλον Χριστὸς αὐτοῖς τὸ ἐπίσημον. ἐβουλόμην μὲν οὖν οὕτω — καὶ γὰρ ἐτυγχάνομεν καὶ πάλαι ἦν ἡμῖν τὸ ὁμόγνωμον καὶ ἀδελφὰ ἐφρονοῦμεν καὶ τοῖς αὐτοῖς κανόσι τῆς εὐσεβείας ἢ καὶ στάθμαις ἀπηυθυνόμεθα καὶ τοῖς μέρεσι πᾶσιν ἐξισαζόμεθα· ἀλλ' ὁ τῷ φθόνῳ διαχωρίσας τὸν πρῶ-

A = cod. Mosquensis 363. B = cod. Mosquensis 368. d = edit. Demetracopuli.

11 Coloss. 3, 11.

tit. in Bd: *Λόγος τοῦ φιλοσοφωτάτου μεγάλου λογοθέτου κυρίου γεωργίου τοῦ ἀκροπολίτου περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος πρὸς Λατίνους. ἔγραφησαν δὲ ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει λόγοι δύο. ὁ παρὼν ἐστι λόγος ά, ὃς τοῦ δευτέρου ἐστὶν ἁπλούστερος.*

12 *οὐδὲ* Bd **14** *οὖν* om. Bd

τον ἄνθρωπον ἀπὸ τοῦ θεοῦ καὶ τοῖς ἀδελφοῖς τὴν κακὴν ἔριν ἐπεμβαλὼν εἰς διάσπασιν, ὡς καὶ εἰς φόνον καταλῆξαι τὸ ῥαδιούργημα — φεῦ τῆς ἡμετέρας ἀσθενείας καὶ τῆς τοῦ σατᾶν προσβολῆς — καὶ ἡμᾶς, ὦ φίλοι Ῥωμαῖοι, ἡνωμένους ὄντας διέστησε καὶ εἰς ἀδιάσπαστον συγκεκραμένους διέλυσε. καὶ νῦν ἀποκλαιόμεθα μὲν ἡμεῖς τὸν ὑμέτερον χωρισμόν, ἀποκλαίονται δέ, ὡς πείθομαι, τοῦτον καὶ ὑμῶν οἵ εὐγνωμονέστεροί τε καὶ συμπαθέστεροι. τί γὰρ χρηστότερον ἢ τερπνότερον ἢ ἀδελφοὺς ἐν τῷ αὐτῷ συνοικεῖν; τί δὲ χαριέστερον ἢ ὀνησιμώτερον ἢ τοὺς αὐτοὺς ὁμοφρόνως ὑπὲρ τῆς εὐσεβείας ἀνταγωνίζεσθαι; τί δὲ ἀθλιώτερον ἢ ἐλεεινότερον ἢ ἀπορραγῆναι τοὺς ὁμονοοῦντας ἐν Χριστῷ εἰς διχόνοιαν καὶ τοὺς ἡνωμένους ἐν πνεύματι εἰς ἀξυμφυῆ τὴν διάστασιν; εἰ δὲ καὶ ὅπου δύο ἢ τρεῖς ἐν Χριστῷ συνηγμένοι, ἐν τούτοις μέσος γνωρίζεται, πόσῳ μᾶλλον ἐν δυσὶν ἢ τρισὶν ἢ καὶ πλείοσιν ἔθνεσιν ἐν ἑαυτῷ συμφρονοῦσιν οὐ παρέσται καὶ πληρώσει τῶν ἀγαθῶν, ὅσα τε ἐνταῦθα τῆς εἰρήνης εὑρίσκεται καὶ ὧν ὁ καρπὸς ἡ τῶν τελουμένων κάθαρσις ἢ ἀνάβασις, καὶ ὅσα ἐκεῖθεν τῆς ὑψηλοτέρας ζωῆς καὶ ἀμείνονος;

2. *Διὰ ταῦτα δὴ τῷ ὑμετέρῳ χωρισμῷ σπαραττόμεθα καὶ τὸ πάθος οὐ διαφέρομεν, ὅτι μέλη ὄντες Χριστοῦ καὶ πρὸς μίαν κεφαλὴν αὐτὸν ἀναγόμενοί τε καὶ συναρμολογούμενοι οὐκέτι συμπνέομεν τοῖς αὐτοῖς οὐδ᾽ εἰς ἓν ἔργον τὸ ἅπαν σῶμα κινούμεθα, ἀλλ᾽ ἀντιφερόμεθα ἑαυτοῖς εἰς ἑτεροίας*

---

9 Psalm. 130, 1. 15 Matth. 18, 20. 22 Ephes. 5, 30.

---

1 *ἀπὸ* om Bd 6 *ὑμεῖς* A 8 *ὑμῖν* Bd 12 *ὁμοφρονοῦντας* d 15 *μέσως* Bd *γνωρίζηται* A 22 *φέρομεν* A 24 *οὐδὲ* d 25 B in marg. sec. m: *πῶς οὐ λέγεται ὁ χριστὸς δύναμις τοῦ πνεύματος ὥσπερ λέγεται τὸ πνεῦμα πνεῦμα πατρὸς καὶ πνεῦμα υἱοῦ καὶ πνεῦμα χριστοῦ . . . . ὥσπερ οὐ δυνάμεθα εἰπεῖν τὸν λόγον τῆς φωνῆς εἶναι ἀλλὰ τοὐναντίον οὕτως οὐδὲ τὸν υἱὸν τοῦ πνεύματος· διὰ τοῦτο οὐ λέγεται ὁ χριστὸς δύναμις πνεύματος ἢ χριστὸς πνεύματος ὥσπερ λέγεται τὸ πνεῦμα πνεῦμα πατρὸς πνεῦμα υἱοῦ καὶ πνεῦμα χριστοῦ: — ἡ ἐκπόρευσις ἰδίωμα ἐστὶν πρόσω ὑπάρξεως τοῦ παναγίου πνεύματος παριστ* ⟨*άσης*⟩ *τοὺς τούτου ὑποστάντ* ⟨*ας*⟩, *ἀντιφαινούσης* . . . alia non leguntur.

πράξεις καὶ ἐναντιουμένας τὸ πλεῖστον μέρος ἐξ ἀντιθέσεως, οὐδ' εἰς μίαν γωνίαν τὸν ἀκρογωνιαῖον τιθέμεθα, ἀλλ' ὥσπερ εἰς ἄλλην καὶ ἄλλην κατηρτισμένοι τὴν οἰκοδόμησιν ἄλλα μὲν ἡμεῖς γνωματεύομεν, ἄλλα δὲ ὑμεῖς τερατεύεσθε. καὶ τίς ὁ θρηνήσων ἡμᾶς Ἱερεμίας; καὶ πόσων ἂν χρεία δακρύων τούτῳ προσγένοιτο; εἰ γὰρ τῆς Ἱερουσαλὴμ ἁλωθείσης καὶ Ἰουδαίων παραχθέντων αὐτῆς, μιᾶς πόλεως καὶ πολλοστοῦ ἔθνους καὶ τὴν φαινομένην πεπονθότων αἰχμαλωσίαν, πηγὰς ἐζήτει καὶ θαλάσσας εἰς δάκρυα, πάσης σχεδὸν τῆς οἰκουμένης ἀντιφωνούσης εἰς τὴν εὐσέβειαν καὶ ἀντίφθογγα δογματιζούσης εἰς τὸ κατὰ Χριστὸν κήρυγμα, πόσων ἂν ἐκείνῳ χρεία θαλασσῶν ἐγένετο πρὸς τὰ δάκρυα; ἔμοιγε οὖν οὐκ ἀνθρώποις οὗτος ἁρμόδιος ὀδυρμὸς οὐδὲ τοῖς τὸ θνητὸν τοῦτο φοροῦσιν ἔνδυμα, ἀλλ' ἀγγέλοις ἢ χερουβὶμ καὶ πάσαις ταῖς ὑπεράνω δυνάμεσιν, ἵν' ἀξίως ἡμᾶς ἀποκλαύσωνται οὐκ ἐπιγινώσκοντας τὴν ἀλήθειαν οὐδὲ τὸ μυστήριον τοῦ Χριστοῦ, δι' οὗ τὴν ἡμετέραν σωτηρίαν ἐπραγματεύσατο, ἀλλὰ κοιλίας ἀπερυγγάνοντας ῥήματα καὶ φιλονεικοῦντας νικῆσαι νίκην πολὺ τῆς ἥττης ἀθλιωτέραν. καὶ οὐχ ὑμεῖς τοῦτο, ἡμεῖς δ' οὔ· ἀλλ' ὅπερ ἐστίν, ὦ Ῥωμαῖοι, οὐκ ἀποκρύψομαι.

3. *Ἤρξατο μὲν ἐξ ὑμῶν τὸ πάθος, κατεβοσκήσατο δὲ καὶ ἡμᾶς καθάπερ ἕρπης ἢ γάγγραινα, ἐκ φιλαυτίας ἀρξάμενα καὶ εἰς αὐθάδειαν καταντήσαντα. ἀλλὰ νῦν δεῦτε δὴ καὶ ἀκούσατέ μου, φόβον τοῦ κυρίου διδάξω ὑμᾶς· τοῦτον γὰρ ἀρχὴν σοφίας καὶ ἕτερος εἰρήκει θεόσοφος. ἵνα τί οὕτως ἐσμὲν εὔκολοι οὐ πρὸς ἅπαντα μόνον λόγον, φυσικόν τέ φημι ἢ μαθηματικὸν ἢ λογικὸν ἢ ἀλλοῖον, ἀλλὰ καὶ πρὸς θεολογίαν αὐτήν, ἀκρατεῖς καὶ χεῖρα καὶ γλῶσσαν καὶ τὴν διάνοιαν; τί μὴ τοῖς οἰκείοις ὅροις περιγραφόμεθα; τί πηδῶμεν ὑπὲρ τὰ ἐσκαμμένα; τί μὴ γινώσκομεν ἑαυτοὺς ἀνθρώπους, ἀλλ' οἰόμεθα μοίρας θειοτέρας εἶναι, φύσεως*

---

2 Matth. 21, 42. **26** Proverb. 9, 10.

---

15 *ὑμᾶς* ABd **25** *τοῦ* om. Bd **32** *μοίραν* Bd *εἶναι* A *τινος* Bd

ὑπεραρθείσης τῶν οὐρανῶν καὶ ἐμφιλοχωρησάσης θεῷ καὶ τὰ κατ' αὐτὸν ἀρίστως ἐπεγνωκυίας καὶ τοῖς ἄλλοις ἐξαγγέλλειν δεδυνημένης; μάταιοι ὄντως ἡμεῖς, εἰς οὓς ἐπεγγελῶσι μὲν δαίμονες, θρηνοῦσι δὲ ἄγγελοι, καταδικάζει δὲ Χριστός, καὶ καταδίκην, ἣν ἐν τοῖς εὐαγγελίοις προώρισε, κλαυθμὸν καὶ ὀδόντων βρυγμὸν καὶ τὰ λοιπὰ τῆς κολάσεως. οὐ γὰρ ἔχοντες ἔνδυμα γάμου τοῖς ἀμφὶ τὸ δεσποτικὸν δεῖπνον δαιτυμόσι συνανακλίνομεν ἑαυτούς· καὶ τοῦτο οὐ πέρα δεινῶν, καίπερ ὂν δεινόν, ἀλλ' εἰ μὴ τοῖς πρώτοις καὶ ὧν οὐδεὶς ὑπερέκεινα συγκαταλέξοιμεν ἑαυτούς, ὡς οὐδὲν λελογίσμεθα. ὢ ἡμεῖς δείλειοι· ἀφέντες τὰ ἡμετέρα θεωρεῖν, τὰ τῆς ἀνεφίκτου καὶ τοῖς χερουβὶμ ζητοῦμεν φύσεως· ἀφέντες τὰς ἐντολὰς τοῦ κυρίου τηρεῖν, δι' ὧν σωθησόμεθα, θεολογεῖν προειλόμεθα· ἀφέντες περὶ φύσεως καὶ σωμάτων φιλοσοφεῖν Cyrill. Al. Thes. 348. *καὶ γνωμολογεῖν περὶ ἤθους, ὧν καὶ τὸ τυγχάνειν κέρδος καὶ τὸ ἀποτυγχάνειν οὐ βλαβερόν, πρὸς τὸ θεολογεῖν ἀνιπτάμεθα, οὗ τὸ ἁμαρτῆσαι πτῶμα ψυχῆς τὸ ὀλεθριώτατον, καὶ οὗ ἡ ἀνάκλησις ὡς ἀδύνατος· οὗ γὰρ τὸ ἀποτυχεῖν ὡς ἀσύγγνωστον, τούτου δυσχερὴς ἡ ἐπάνοδος. ὢ ἡμεῖς μάταιοι, τί τὸ περὶ ἡμᾶς τοῦτο τοῦ σατᾶν ἔσχατον δέλεαρ; ὃς ἐπεὶ μὴ ἔχει τοῖς ἄλλοις θηρεῦσαι — ἀποκάμνει γὰρ τοῖς σωτηριώδεσιν ἀντιβαλλόμενος πνεύμασι — τὸ μέγιστον τοῦτο καὶ ἐπικινδυνότατον ἐπιβάλλει θήρατρον τοῖς ὀξυτέροις τάχα καὶ θερμοτέροις εἰς τὴν εὐσέβειαν, ᾧ πολλὰ πλήθη καὶ τῶν περιφανεστέρων ἐν ἄλλοις ἀπώλεσε καὶ τοὺς ὑπερπεπηδηκότας τὰ κάτω καὶ μὴ κατὰ βαθμίδας κεχωρηκότας πτῶμα δακρύων δέδειχεν ἄξιον.*

4. *Διὰ τοῦτο πᾶσιν ὀκνητέον εἰς θεολογίαν ἐλθεῖν, καὶ φοβητέον τὸν φόβον, οὗ τὸ φοβεῖσθαι πάνυ γε ἄξιον. τί γὰρ καὶ θεολογοῦμεν καινότερον; δέον ἀρκεῖσθαι τοῖς προτέροις καὶ οἷς ἡμᾶς ἐδίδαξεν ὁ καλῶς γινώσκων τὰ ἑαυτοῦ,* Basil. hom. 24. *ἢ καὶ τῶν δευτέρων ἀκούειν, ὧν ἡ πρᾶξις καὶ ὧν ὁ βίος*

---

6 Luc. 13, 28. 7 Matth. 22, 11. 31 Io. 10, 14.

---

3 *εἰς* supr. lin. add. A om. Bd 12 *τοῖς* A *τῆς* Bd 18 *ἀνάκλισις* AB corr. d 19 *ἀσύγνωστον* d 21 *ἔχῃ* A *θηρᾶσαι* Bd 26 *βαθμίδας*] *βαθμίου* A

ταῖς θείαις ἐμαρτύρησεν ἀποφάσεσιν, ἐπεὶ καὶ οὗτοι οὐ ταῖς οἰκείαις περὶ τὸ πρᾶγμα δυνάμεσι κατεχρήσαντο οὐδὲ τοῖς λογικοῖς καὶ μόνοις μεθοδεύμασιν ἐγκατέμειναν. ἀνθρώπινον γὰρ τοῦτο καὶ τῇ φύσει γινώσκεται, καὶ ποῦ τὰ μυστήρια τῆς θεότητος; ποῦ δὲ τὰ ὑπὲρ φύσιν ἐκ τῶν κατὰ φύσιν καὶ θαυμαζόμενα καὶ τιμώμενα; Χριστὸς ὁ πρῶτος θεολόγος θεολογεῖ, καὶ σὺ τὴν ἐκείνου θεολογίαν παραποιεῖς; ὁ καλῶς εἰδὼς ἑαυτὸν καὶ τοὺς ἑαυτοῦ, καὶ σὺ τολμᾷς καὶ τὸ οἱονοῦν παρ' αὐτὸν ἀποφαίνεσθαι; ὁ Χριστός φησι· 'τὸ πνεῦμα τὸ ἅγιον, ὁ παρὰ τοῦ πατρὸς ἐκπορεύεται', καὶ τίς ἂν ἄλλος τολμήσειε καὶ ἐκ τοῦ υἱοῦ ἀποφήνασθαι; ὥσπερ γὰρ οὗτός φησιν γεγεννῆσθαι ἐκ τοῦ πατρός, καὶ οὐκ ἄν τις ἀπαυθαδιάσαιτο πώποτε λέξαι καὶ ἐκ τοῦ πνεύματος, οὕτω δὴ καὶ ἐν τούτῳ ἐστί. πέμπειν πάλιν αὐτός φησιν τὸν παράκλητον, καὶ στέρξωμεν τὸν λόγον καὶ μὴ παραχαράξωμεν τὸ ῥητόν· ἐκκείσθωσαν οὕτως αἱ συλλαβαί, ἃς ὁ πρῶτος στοιχειωτὴς ἀπεγράψατο. τί συλλογίζῃ ἐπὶ κενῆς καὶ ἐπιφέρεις ἄλλα ἀντ' ἄλλων ὀνόματα; τὸ πέμπειν λέγε μοι πέμπειν καὶ ἐκπορεύεσθαί μοι τὸ ἐκπορεύεσθαι· κρείττων σοῦ πολὺ ὁ διδάξας αὐτὰ καὶ πιστεύειν οὑτωσὶ ἐντειλάμενος. τί γὰρ μὴ ἐκπορεύειν αὐτὸ εἰρήκει ἡ αὐτοσοφία καὶ ὁ τῶν μελλόντων προγνώστης, ὃς ἀκριβῶς τὰ τοιαῦτα ἐγίνωσκε καὶ τὴν ἐπὶ τούτοις ἀμφιβολίαν καὶ τὴν διχόνοιαν, ὡς ἂν ἡμᾶς ἀπαλλάξειε πολλῶν ῥημάτων καὶ ἀντιθέσεων, ἀλλὰ πέμψειν αὐτὸ εἶπε τοῖς μαθηταῖς μετὰ τὴν αὐτοῦ πρὸς τὸν πατέρα ἀνάβασιν; εἰ μὴ γὰρ ἄλλο οἶδε τὴν πέμψιν καὶ ἕτερον τὴν ἐκπόρευσιν, οὐκ ἂν παρήλλαξε τὰ ὀνόματα, ὥσπερ οὐδ' ἐπὶ τοῦ πατρὸς οὐδ' ἐπὶ τοῦ ὀνόματος τοῦ υἱοῦ καὶ τῆς μέσον αὐτῶν σχέσεως εἴτουν γεννήσεως· ἀλλὰ ταῦτα φυλάττει καὶ οὐκ ἰσοδυναμούσαις, ὡς ἄν τινες φαῖεν, ἐναλλάττει ταῖς λέξεσι. θεός ἐστιν ὁ ταῦτα θεολογῶν καὶ περὶ ἑαυτοῦ, καὶ πῶς ἂν ἐγὼ ἐς τοσοῦτον ἔλθοιμι τόλμης καὶ ἀναιδείας ὡς ἄλλο τι

---

8 Io. 10, 14. **10** Io. 15, 26. **12** Io. 16, 28. **14** Io. 15, 26.

---

2 πρᾶγμα] πνεῦμα d **12** φησιν οὗτος Bd **21** αὐτὸ om. Bd **27** εἶδε A

παρὰ ταῦτα θεολογεῖν, κόνις ὢν ἀμυδρὰ καὶ χοῦς πρὸς γῆν ἰλυσπώμενος, κἂν ἐτιμήθην τῷ πνεύματι; Παῦλος οὐ παραπεποίηκε τὸ ῥητόν, ὁ εἰς τρίτον ἀρθεὶς οὐρανὸν κἀκεῖθεν εἰς τὸν παράδεισον καὶ ἀκούσας ἀνέκφραστα· εὐαγγελιστὴς οὐδεὶς ἀπεγράψατο καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸν παράκλητον, καὶ τίς οὕτω θρασὺς τὰς φρένας καὶ τοὺς λόγους ἀκάθεκτος, ὡς ἀπερυγγάνειν τοῦτο τοῦ στόματος;

5. Εἰ δὲ τὴν πέμψιν πάλιν λαμβάνεις εἰς τὴν ἀπόδειξιν καὶ ἐνσχολάζεις τῷ ῥήματι καὶ ταυτίζεις ὀνόματα καὶ πέμπειν λέγεις τὸ ἐκπορεύεσθαι, ἄκουε πάλιν τῶν πρὸς ἀντίρρησιν. οὐδὲν τῶν ὀνομάτων ἄντικρυς ὡς ταὐτόν· κἂν αὐτὰ φέρῃς τὰ πολυώνυμα, εὑρήσεις ἐν τούτοις διαφορὰν οὐ σμικράν· πρὸς γὰρ ἄλλην καὶ ἄλλην τοῦ ὑποκειμένου τὴν ἔννοιαν ἀπιδόντες οἱ πρώτως θέντες ὀνόματα τὸ ποικίλον τῶν ὀνομάτων ἐπέθεντο. καὶ γνοίης ἂν ταῦτα καλῶς ἐς διδασκάλου ἀφιγμένος γραμματιστῶν τὰς συλλαβὰς ἀναπτύσσοντος καὶ τὸ κεκρυμμένον τῆς διανοίας ἀνακαλύπτοντος — καὶ ταῦτα οὐκ ἂν ἐξ ὑπογυίου ὁ παρατυχὼν ἐπιγνώσαιτο — καὶ ἴδοις ἂν καὶ τοὺς ἐπιστήμονας οὐ τοῖς τυχοῦσι τῶν ὀνομάτων χρωμένους εἰς ἑρμηνείαν, εἴπερ κυριολεκτεῖν ἐπεβάλλοντο, ἀλλὰ τοῖς προσφυέσι καὶ καταλλήλοις καὶ μὴ ἀπᾴδουσιν. εἰ γοῦν ἐπὶ τῶν καθ' ἡμᾶς καὶ θνητῶν ἡ τῶν ὀνομάτων διαφορὰ πολλὴν ἐπικρύπτει τὴν ἔννοιαν καὶ ὁ ἐπιστήμων ἐπέγνωκε καὶ οὐκ ἐᾷ παραχαράττειν τοὺς μὴ λόγοις τοῖς τεχνικοῖς ἐμβαθύνοντας, πόσῳ μᾶλλον ἐπὶ τῆς ὑπὲρ ἡμᾶς φύσεως, τῆς ὑπερουσίου οὐσίας, τῆς πάντων αἰτίας τῶν ὄντων, τῆς μὴ παρά του γινωσκομένης μηδὲ τῶν κατ' αὐτήν τι διδούσης εἰς μικρὰν ἐκείνης κατάληψιν, τῆς ὑπεραιρομένης πάσης [ὑπερκειμένης] οὐσίας τε καὶ δυνάμεως, ἐξ ἧς ἅπαν ὂν καὶ ἔστι καὶ ζωοῦται καὶ ἀγαθύνεται καὶ διαμένει περικρατούμενον, ἀρρήτῳ δυνάμει τῆς ὀντο-

1 Is. 29, 5. 2 II. Cor. 12, 2. 4.

2 τῷ] καὶ Bd 8 πάλιν om. Bd 10 λέγειν B 21 ἐπεβάλλοντο d ἐπεβάλοντο AB 28 post τι add. παρεχομένης (παρασχομένης d) εἰς τὴν ἐπίγνωσιν, ἀλλὰ τῶν περὶ αὐτήν τι Bd ὑπερκειμένης uncis seclusi 30 ἀγαθυνῆται A 31 παρακρατούμενον Bd

ποιοῦ συνεχόμενον φύσεως; πόσον γοῦν ἐπὶ τῆς ἀρρήτου ταύτης οὐσίας χρεὼν παρατηρεῖν τὰ ὀνόματα, ἅπερ ὁ πρωτουργὸς τῆς τούτων ἀποκαλύψεως ἔθετο, καὶ λέγειν μὲν ἐκπορεύεσθαι τὸ πνεῦμα ἐφ' οἷς εἰρήκει τὸ ἐκπορεύεσθαι, καὶ πέμπεσθαι πάλιν ἐφ' οἷς τὸ πέμπεσθαι ἔλεξε. τίς γὰρ οἶδε νοῦν κυρίου; τίς εἰς τὰ βάθη παρέκυψε τὰ τοῦ πνεύματος; ἔφη Χριστὸς τὸ πνεῦμα παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι, καὶ οὐκ ἄν τις τῶν εὐσεβεῖν ᾑρημένων παραχαράξειε τὴν φωνήν. ἔφη πάλιν οὗτος ἐκπέμπειν αὐτό, καὶ μενέτω οὕτως τὸ ὄνομα. ἢ τίς ὁ λόγος ἐκεῖνο μὲν φυλάττειν ἀπαραποίητον, τοῦτο δὲ ἐπάγειν εἰς ἕτερον; καίτοι γε οὐχ ἁπλῶς ὄντος τοῦ πράγματος οὐδὲ τῶν ἀκινδύνων, ἀλλὰ καὶ τῶν λίαν ἐπικινδυνοτάτων καὶ πολὺν παρεχομένων τὸν ὄλεθρον.

6. *Ἐπέλθωμεν καὶ τὰ τῶν θεοφόρων συντάγματα καὶ διδάγματα. ὅτι μὲν καὶ οὗτοι περὶ τούτων τοιαύτην ἔσχον τὴν ἔννοιαν, ἐκ τῶνδε δῆλον καθέστηκε· τίς γὰρ αὐτῶν ἀπεθρασύνθη ἐκ τοῦ υἱοῦ ἐρεῖν τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι; καὶ μὴν εἶχον εἰπεῖν εἰ τοιοῦτόν τι νενοήκασιν, ἀλλ' εἰς τὴν πέμψιν ἐνέμειναν καὶ τὴν δόσιν καὶ τὴν χορηγίαν, ἔστιν οὗ καὶ τὴν πρόεσιν. πρόεσις δὲ οὐ ταὐτὸν τοῖς ἐπηβόλοις τῶν λογίων τῇ ἐκπορεύσει γνωρίζεται, εἴ γε φαμὲν καὶ τὸν υἱὸν προΐεσθαι τοῦ πατρός, ἀλλ' ἔστι κοινή τις φωνὴ προσδιορισμοῦ τινος δεομένη πρὸς τὴν σαφήνειαν. πρόεισι μὲν γὰρ τοῦ πατρὸς ὁ υἱός, ἀλλὰ γεννητῶς· πρόεισιν αὐτοῦ καὶ τὸ πνεῦμα, ἀλλ' ἐκπορευτῶς. ὥστε οὐχ ὅπου πρόεσις, γέννησις ἐκεῖ ἢ ἐκπόρευσις. ταύτῃ δὲ τῇ φωνῇ χρησάμενοι ἐπὶ τοῦ πνεύματος οἱ τῆς ἐκκλησίας φωστῆρες, καθάπερ ἀμέλει καὶ ταῖς προειρημέναις, οὐ προσδιορισμῷ τινι ἐπεσημήναντο τοῦτο, ἵνα ἔχοιμεν γνῶναι τὸ νόημα, ὅπερ ἦν δέον, εἰ*

Greg. Naz. or. 39. Theod. Lasc. proc. spir. 182.

5/6 Rom. 11, 33 sq. 7 Io. 15, 26. 9 Io. 15, 26.

1 *συνεχομένης* d *πόσων* ABd *οὖν* B 8 *εἰρημένων παραλάξειε* d 15 incipit cod. Vallicell. gr. C IV, quem signavi C. tit: *ἐκ τοῦ πρώτου λόγου τοῦ σοφωτάτου ἀκροπολίτου, οὗ ἡ ἀρχή· ʽἄνδρες ῥωμαῖοι.* pr. *καὶ* om. C 16 *ὅτι μὲν*] *καὶ ὅτι* A *περὶ τούτων* om. A 21 *ἐπιβόλοις* d 29 *ἀπεσημήναντο* Bd 30 *ἵν'* C

νενοήκασι· προϊέναι γὰρ ἐκ τοῦ υἱοῦ ἀλλ' ἐκπορευτῶς εἶχον ἂν εἰπεῖν, εἰ πρὸς τοιοῦτον ἀπένευον τὸν σκοπόν.

7. *Λέγε* οὖν καὶ σὺ τὰς τοιαύτας φωνὰς ἀμεταποιήτους παραφυλάττων εἰς τὴν ἐκφώνησιν. δίδασκε τὸ πνεῦμα παρὰ τοῦ λόγου ἐκπέμπεσθαι· ἐδιδάχθης γὰρ τοῦτο παρὰ τοῦ κρείττονος. ἑρμήνευε καὶ χορηγεῖσθαι τοῦτο παρ' αὐτοῦ καὶ δίδοσθαι καὶ ἀποστέλλεσθαι καὶ προϊέσθαι· δεδίδαξαι γὰρ ταῦτα παρὰ μεγίστων ἐκείνων ἀνδρῶν, ὧν ἡ ἀρετὴ τὸ ἐπίσημον καὶ ὧν τὸ θεοφορούμενον ὡς ἐπίδηλον. Βασίλειοι ταῦτα θεολογοῦσι καὶ Κύριλλοι καὶ Γρηγόριοι, οἳ οὐδ' ὁπωσοῦν τετολμήκασιν ἐπὶ τοῦ υἱοῦ διαγράψασθαι τὴν τοῦ πνεύματος ἐκπόρευσιν. καὶ πῶς ἂν ἡμεῖς ἀπερυθριάστως οὕτως ἐπιπηδήσωμεν τῷ ὀνόματι καὶ κρεῖττον ἢ ἐκείνους ἑαυτοὺς εἰδέναι ἀπισχυρισώμεθα; ποῦ ποτε εὗρες τοῖς τούτων συγγράμμασι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι; ἀλλὰ πάλιν ἐπάγονται οἱ ῥαδίως εὑρισκόμενοί σοι συλλογισμοὶ καὶ τὸ σαθρὸν τοῦτο τοῦ λόγου σχοινίον, δι' οὗ συνάγεις τὰ ἄτοπα, εἴ γε ψευδῆ τοῖς εὖ φρονοῦσι τὰ ἄτοπα. πῶς γὰρ οἱ τοσοῦτοί τε καὶ τοιοῦτοι οὐκ ἔγνωσαν τὸ παρά σου συναγόμενον; ἀλλὰ τὰς μὲν προτάσεις ἐγίνωσκον καὶ ἐδίδασκον, ἅπερ δὲ ὡς ἑπόμενα φέρεις αὐτὸς εἴτε δὴ συμπεράσματα οὐχ ὅλως εἰς νοῦν ἐδέξαντο· ἃ γὰρ οὐ νενοήκασι, πῶς ἂν τοῖς διδασκομένοις παρέθεντο; λάβε μοι καὶ αὐτὸς τὰς προτάσεις ὡς λόγους, εἰ βούλει, καὶ συμπεράσματα, καὶ μὴ δι' αὐτῶν συμπέραινε ἕτερα ἀλλότρια τῆς ἀληθείας καὶ ξένα τῆς ἐκκλησίας τοῦ Χριστοῦ.

Cyrill. c. Jul. 1. Greg. Naz. l. c. Basil. l. c.

8. *Τίς* ἡ τῆς θεολογίας τέχνη ἢ ἐπιστήμη, ὡς τοῖς κανόσι ταύτης ἑψόμεθα; ἁπλῆ τίς ἐστι διδασκαλία τὸ ἡμέτερον κήρυγμα. Χριστὸς γὰρ ταύτην ἐδίδαξεν, ἐπλάτυναν αὐτὴν οἱ ἀπόστολοι, ἐκράτυναν οἱ διδάσκαλοι. πάλιν φιλονεικεῖς συλλογίζεσθαι, κἀγώ σοι τὸν λόγον ἁπλοῦν ἀντιτίθημι. σὺ συμπεραίνεις μοι τὰ ψευδῆ, κἀγώ σοι προτείνω τὰ ἀληθῆ. συνάγεις μοι ἐκ τῶν προτάσεων καὶ ἐκ τοῦ υἱοῦ, ἐγώ σοι

---

2 post *σκοπόν* desinit C 8 *παρὰ τῶν μεγίστων* d **11/12** *τὴν ἐκπόρευσιν τοῦ πνεύματος διαγράψασθαι* B d **16** *μοι* d **17** *τῶν λόγων* B d **25** *συμπεραίνεις* B d **30/31** *φιλονεικεῖν συλλογίζῃ* d **31** *λόγον* om. d *τὸν ἁπλοῦν* B

τὸ ἐκ τοῦ πατρὸς ἀποφαίνομαι. τοῦτο μὲν Χριστοῦ, ἐκεῖνο δ᾽ οὐκ οἶδα τίνος· τοῦτο τῆς αὐτοσοφίας τὸ δίδαγμα, ἐκεῖνο πλάσμα διανοίας οὐχ ὑγιοῦς, τεχναζομένης εἰς τὰ ὑπερέκεινα τεχνῶν καὶ ἐπιστημῶν· τοῦτο Χριστὸς διδάσκει, καὶ τῷ λόγῳ πεπίστευκα, ἐκεῖνο προφέρεις σύ, καὶ οὐκέτι πειθόμενον ἔχεις με. τίς ἡ τοσαύτη καινοτομία τῶν λόγων; τίς ἡ τοσαύτη περὶ τοὺς θείους τῶν λόγων ἀδολεσχία, ὡς μὴ θέλειν ἐν ἄλλοις ἀσχολεῖσθαι καὶ ἐπιδείκνυσθαι, ἀλλ᾽ ἐν τοῖς θείοις φιλονεικεῖν ἐναβρύνεσθαι; Ἀθηναίων οὐδὲν ἦν ἢ λέγειν τι καὶ ἀκούειν καινότερον, καὶ τῶν νέων θεολόγων μεταποιεῖν τὰ τῆς ἀληθείας διδάγματα.

9. *Εἰ* δὲ εἰς δουλείαν ἄγεις τὴν ἐκ τῆς πέμψεως πρόοδον ἢ τὴν δόσιν ἢ τὴν χορηγίαν ἢ τὴν πρόεσιν καὶ πάλιν θεολογεῖς (Cyrill. l. c.) ἢ φιλοσοφεῖς τὸ φύσει ἢ μὴ φύσει καὶ τὸ κατ᾽ ἐξουσίαν ἢ κατὰ τὴν συνάφειαν καὶ ἢ οἴκοθεν ἢ ἔξωθεν καὶ ὅσα τοῦ τεχνυδρίου τοῦ ἀνθρωπίνου, ἀδολεσχεῖν σε ἐάσω ταῖς τοιαύταις πλημμελῶς προσφερομέναις ἐρεσχελίαις καὶ μιᾷ τῇ λύσει ἀνατρέψω τὰς ἐντέχνους σοι διαιρέσεις ἢ ὑποδιαιρέσεις ἢ ἐπιδιαιρέσεις καὶ τὸ τῶν ἑπομένων ἀναγκαίων ταῖς ἀντιθέσεσιν. ἐπὶ τῆς τοῦ θεοῦ φύσεως καὶ τῆς αὐτοῦ διαιρέσεως καὶ ἑνώσεως καὶ νοῦς ἀσθενεῖ, ἐν ᾧ τοὺς ὅρους γινώσκομεν, καὶ διάνοια ἀπηγόρευκε, δι᾽ ἧς τὰς ἐπιστήμας εὑρήκαμεν ἢ ἐσχήκαμεν· καὶ δόξα πῶς ἂν σχοίη χώραν τῶν πρὸ αὐτῆς ἀμαυρουμένων καὶ ἀπηυδηκότων τὴν νόησιν; ἄνθρωποι τὰς τέχνας εὑρήκαμεν καὶ τὴν φύσιν κατεξετάσαντες φυσικῶς τοὺς λόγους προάγομεν, καὶ τέχνῃ τὰς τῆς φύσεως ἀκολουθίας ἐγνώκαμεν. ἐπὶ δὲ τοῖς ὑπερφυέσι τίς ὁ τεχνικὸς λόγος; ποῖος ὁ ἐπιστημονικὸς νοῦς; ἡλίκος ὁ ὑπερέκεινα, ὥστε νοῆσαί τι καὶ ἀποφήνασθαι, ὅπου ἐπιμύει τὰ πολυόμματα, ὅπου ἐπιφρίττει τὰ χερουβίμ, ὅπου σιγῶσι δυνάμεις πᾶσαι καὶ ἄγγελοι, ἓν μόνον εἰδότες ᾆσμα τοῦ τρισαγίου τὴν αἴνεσιν, ἀπεριέργως καὶ ταύτην καὶ τῶν τεχνικῶν λεξειδίων ὑπερανῳκισμένην ἐν τῇ ἁπλότητι; ἔδει γὰρ τοῖς ἁπλοῖς ἢ τῷ ἁπλῷ ἢ καὶ

29 Apocal. 4, 6. 8.

14 ἢ φιλοσοφεῖς om. A 15 τεχνιδρίου d 19 ἀναγκατον B a 27 ὑπὲρ φύσιν B 29 ἐπιμένει d 32 ὑπεράνω κειμένην d

ὑπὲρ αὐτὸ τὸ ἁπλοῦν ἁπλᾶς γενέσθαι καὶ τὰς ᾠδάς. τί γοῦν ἡμεῖς οἱ σύνθετοι καὶ πολλοῖς συνεστηκότες τοῖς κράμασιν οὐ τοὺς ἁπλοῦς ζηλοῦμεν λόγους ταῖς περὶ τὸ θεῖον ὑπολήψεσι καὶ κατ᾽ αὐτὸ τὰς φωνὰς συνάγομεν, ἵνα καὶ συναχθῶμεν ὑπὸ τῆς μιᾶς δημιουργικῆς πανταρχίας εἰς ἕν, μίαν συμφωνίαν συμπλέξαντες ἀνθρωπίνην, ὡς τῆς ἀγγελικῆς συμμετάσχοιμεν; ἀρκεσθησόμεθα τοῖς ἐνταῦθα παρὰ Χριστοῦ καὶ τῶν τοῦ Χριστοῦ δεδιδαγμένοις ἡμῖν· εἰ δέ τι εἴη καὶ κρυφιωδέστερον, ἐκεῖ ταμιεύσωμεν ἑαυτοῖς. ἢ τί γὰρ ἂν ἄλλο τῆς ἐκεῖθεν εἶναι δοίημεν βιοτῆς, εἰ πάντα ἐνταῦθα τὰ τοῦ θεοῦ γνοίημεν; ἢ πῶς εἰδείημεν ἂν καὶ σάρκες ὄντες καὶ ὕλης μετέχοντες, εἰ πάντων τῶν θείων ἐφικέσθαι σπουδάσαιμεν;

10. Εἴπερ ἦν ἀληθὲς ἐκπορεύεσθαι καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ὤκνησαν οἱ διδάσκαλοι ταῖς ἑαυτῶν συγγραφαῖς ἐνσημήνασθαι· οὐδὲ γὰρ ἔχω λέγειν· ἐφθόνησαν. ἀλλ᾽ ἐκεῖνοι μὲν ἐσιώπησαν, δειλίαν ἐπαινουμένην ἐν ἑαυτοῖς δειλιάσαντες, σὺ δὲ οἷος ὢν ἀποθρασύνῃ τὴν προφοράν; καὶ Χριστὸς μὲν οὐκ εἴρηκεν· οἴομαι γάρ, ὡς οὐκ ἦν. πῶς γάρ, ἂν ὄν, οὐκ ἐδίδαξεν, οἷς τὴν πᾶσαν θεολογίαν ἐτράνωσε; καὶ μετ᾽ αὐτὸν οὐδεὶς τῶν διδασκάλων εἰπεῖν ἀπετόλμησε, σὺ δὲ ὁ ταῦτα λέγων τίς ὢν τυγχάνεις εἰς πίστωσιν; οὐκ ἔστιν ἡ πέμψις καὶ ἡ δόσις καὶ ἡ χορηγία καὶ ἡ πρόοδος τῇ ἐκπορεύσει ταὐτά· εἰ γὰρ ἦσαν ταὐτά, οὐκ ἂν τούτοις χρώμενοι ἐν τοῖς ἁπανταχοῦ λόγοις τὴν ἐκπόρευσιν ηὐλαβήθησαν· οὐδὲ γὰρ ἤθελον μὴ συνᾴδειν Χριστῷ. ἐμμένειν γοῦν χρεὼν τοῖς ῥήμασι τοῦ Χριστοῦ καὶ τοῖς μετὰ τοῦτον διδάγμασιν. ἀλλὰ Παῦλον ἔχεις συνηγοροῦντά σοι, πνεῦμα Χριστοῦ καὶ πνεῦμα τῆς ἀληθείας διδάσκοντα. καὶ τίς οὐ λέγει τὸ πνεῦμα εἶναι Χριστοῦ εἴτουν υἱοῦ; ἀλλότριος τῆς ἐκκλησίας Χριστοῦ ὁ ταῦτα μὴ

Theod. Lasc. l. c. 30.

---

29 Rom. 8, 9.

---

7 ἀρκεσθησώμεθα ABd 9 ἐκεῖσε Bd 11 a πῶς iterum incipit C, in marg: καὶ μετ᾽ ὀλίγον. 14 ἐκ om. BC 24 καὶ πρόοδος Bd 25 post λόγοις add. οἱ ἅγιοι BCd 27 μένειν BCd

(Phot. de spir. P. gr. 102 c. 328 C) συμφθεγγόμενος. ἐκπορεύεσθαι δὲ καὶ ἐξ υἱοῦ οὔτ' αὐτὸς ὁ υἱὸς ὁ τὰ τοῦ πατρὸς καὶ τὰ ἑαυτοῦ καὶ τὰ τοῦ πνεύματος διδάξας ἀριδηλότατα εἴρηκεν, οὔτε μήν τις τῶν διδασκάλων ἐθέσπισεν, ὅσα ἡμᾶς εἰδέναι, καὶ ὧν τὰς γραφὰς εἰς διδασκαλίαν καὶ ὄνησιν τῶν πολλῶν παρατιθέασιν ἄνθρωποι. ζητεῖς καὶ αὖθις, ὡς οἶμαι, τοὺς λόγους τῆς ἀποστολῆς, τῆς χορηγίας, τῆς δόσεως· ‘εἰ παρὰ τὴν ἐκπόρευσιν ὄντα, τί γε ἄρα εἰσίν; ἀποστολὴ χορηγία καὶ δόσις ταὐτά εἰσι.’ τίς εἶ ὁ ἐξετάζων περὶ θεοῦ; αὐτὸς εἰρήκει περὶ ἑαυτοῦ, καὶ κατάμενε τοῖς αὐτοῖς καὶ τοὺς λόγους κατάτριβε καὶ αὐτὸς καὶ τὰ ὀνόματα ἔχε μὴ παραβλαπτόμενα παρά του τῶν κακῶς παραχαραττόντων καὶ τὴν βασιλικὴν δραχμήν, ὑπὲρ ἧς ὁ δεσπότης ἐποιήσατο τὴν σπουδήν, ἵνα εὕρῃ ταύτην συγκεχωσμένην τοῖς πάθεσι.

11. *Πάλιν ἀδολεσχεῖς, καὶ πάλιν θεολογῶ.* λέγε τὰς ῥήσεις καθὼς ἐλέχθησαν ἢ ἐγράφησαν, καὶ οὐ κινδυνεύσεις περὶ ψυχὴν οὐδὲ φιλονεικήσεις μοι πρὸς λόγων τρυφήν, εἴ γε τοῖς τοιούτοις τινὲς κακῶς μεμελετήκασιν ἐντρυφᾶν, ἀφορμὴν λόγων τὴν θεολογίαν ποιούμενοι, ὡς μὴ ὄντων ἄλλων ἐν οἷς ἂν ἐπιδείξαιντο τὸ φιλότιμον. φύσις ἐστίν, ἀριθμοί, ποσὰ συνεχῆ, ἁρμονία καὶ λόγων παντοίων ἰδέαι, ψυχῆς γνῶσις, νοὸς κάθαρσις, αἰσθήσεως διαφορά, καὶ τῶν ἔξωθεν ἐν ἑαυταῖς συστολὴ ἢ ἀναγωγὴ πρὸς τὸν νοῦν. ταῦτα φιλοσοφητέον ἡμῖν, περὶ δὲ θεοῦ πάμπαν εὐλαβητέον. ἀπηναισχυντήκασι μὲν ἔνιοι τῶν θεολογεῖν βεβουλημένων ἐν ἐννοίαις, ἐν λέξεσιν, ἀλλ' ἐξωστρακίσθησαν, ἀλλ' ἀπερρίφησαν, ἀλλ' ὡς σεσηπότα μέλη τῆς ἐκκλησίας τῆς κεφαλῆς ἀπεκόπησαν, καὶ νῦν εἰσιν ἐλεεινοὶ τοῦ θράσους καὶ καταγελώμενοι καὶ θρηνούμενοι. μὴ τοιαύτης μερίδος φανείημεν καὶ ἡμεῖς. ἐγκαρτερήσωμεν τοῖς δεδιδαγμένοις παρὰ Χριστοῦ, παρὰ τῶν ἀποστόλων, παρὰ τῶν ἐς ὕστερον διδασκάλων, τῶν θεοφόρων ἀνδρῶν· ταῖς λέξεσιν ἐκείνων εἰς τὴν ἡμετέραν χρησώμεθα προφοράν, τὰς αὐτὰς ἐννοίας προβά-

---

12 Luc. 15, 8. 9.

---

21 ἰδέαι] εἰδέναι Bd 33 προβάλλωμεν A

λωμεν εἰς διδάγματα, μὴ ἀφορμὴν ἀπωλείας τὴν τῆς σωτηρίας ἡμῶν ἐλπίδα ὁ κοινὸς προσλάβῃ ἐχθρὸς καί, ὅθεν ἡμῖν τὸ σώζεσθαι, ἐκεῖθεν γένηται ἡ φθορά. δεινός ἐστιν ὁ ἀντίπαλος, καὶ εἰ τοῖς ἀριστεροῖς ἀποκάμοι, ἐπιβάλλει τοῖς δεξιοῖς, καὶ τὸν ζῆλον προφέρει καὶ τάχα μεταχειρίζεται τὴν ἀλήθειαν. κιρνᾷ κρατῆρα μέλιτος πλήρη, καὶ δηλητηρίου Phot. *μεστὸς τοῖς εὖ φρονοῦσι γινώσκεται· σαίνει τῷ φαινομένῳ* l. c. 281 B *καὶ δάκνει τῷ κρυπτομένῳ. σφραγὶς ἡμῖν ἐγεγόνει πᾶσι τοῖς εἰς Χριστὸν πεπιστευκόσι κοινή. ταύτῃ τῇ σφραγῖδι πάντες ἐνσημαινώμεθα, καὶ τάχα παραδράμῃ ἡμᾶς ὁ ὀλοθρεύων διάβολος. ποίμνη ἐσμὲν τοῦ Χριστοῦ, τοῦ καλοῦ ποιμένος καὶ ἀρχιποιμένος· φυλάττωμεν ἡμῶν τὴν σφραγῖδα ἀπαρεγχείρητον, μὴ λάθωμεν τῷ κλέπτῃ σεσυλημένοι καὶ τῷ δεσπότῃ μὴ γινωσκόμενοι. αἱρέσεις οὐκ ὀλίγαι κατὰ καιροὺς ἀνεφάνησαν, καθάπερ ζιζάνια τὸν καθαρὸν σῖτον μολῦναι θέλουσαι τοῦ Χριστοῦ, ἀλλὰ λόγοις ἀληθείας ἐξερριζώθησαν. οὐδὲν δὲ τὴν σφραγῖδα τοῖς διὰ ταῦτα λόγοις παρεποιήσαντο οἱ διδάσκαλοι, ἀλλ' ἠρκέσθησαν καὶ μόνον ἀποβαλεῖν τὸ ἀλλότριον· ἡ δὲ σφραγὶς ἐτηρήθη ὡς ἔσχε φύσεως ἐξ ἀρχῆς. ὃ γὰρ ἐκ δευτέρου πολλοῖς κανόσι καὶ ἀρίστως ἠκριβωμένοις πεπλήρωται, τούτου τὴν τελείωσιν ὡς μηδενὸς προσδεομένην ἐθέσπισαν· ἀλλ' ὤρθουν μὲν τὸ σφαλλόμενον, τὸ δὲ καλῶς ἐγκείμενον ἐτήρουν πάμπαν ἀλώβητον. εἰ γοῦν θέλεις πρόβατον Χριστοῦ καὶ εἶναι καὶ πᾶσι τοῖς ὁρῶσι γινώσκεσθαι, φέρε τὴν σφραγῖδα καθὰ τῷ εἴδει τῆς εὐσεβείας μεμόρφωται, καὶ μὴ κίβδηλον ἔχῃς παραποιήσας σου πρὸς τὸ βούλημα, μή ποτέ σοι ὁ κύριος ἐντυχών, ὁ λέγων γινώσκειν τὰ αὐτοῦ καὶ ὑπὸ τῶν ἐκείνου γινώσκεσθαι, 'οὐκ οἶδά σε' δικαίως ἐρεῖ.*

12. *Ἀλλ' ἐπὶ γλώττης αἱ εἰκόνες καὶ ἐξ ὑπογυίου τὰ παραδείγματα,* Io. Dam. de haer. *ῥίζα καὶ κλάδος καὶ ὁ καρπὸς καὶ ὁ ἥλιος καὶ* P. gr. 94 *ἀκτὶς καὶ ἀπαύγασμα· τὸ γὰρ τῆς πηγῆς σιωπῶ, ἀξύμφυλον* c. 780 B

---

11 Io. 10, 14. Ebr. 13, 20. **13** Matth. 24, 43. **15** Matth. 13, 25. **28** Io. 10, 14. **29** Matth. 25, 12.

---

4 *ἀποκάμῃ* B d **8** post *κρυπτομένῳ* explicit C **30** ab *Ἀλλ'* tertium incipit C

Cyrill. thes. c. 34. Nic. Blem. de proc. I 15.

ὃν εἰς παράληψιν. ἐγώ σου τοὺς λόγους διαλύσω τῶν παραδειγμάτων, εἰ μόνον ἐθέλεις ἀφιλονείκως ἐπαΐειν τῶν λεγομένων μοι. καρπὸς τὸ πνεῦμα κατὰ τὰς ὑποθέσεις σου πέφυκε, καὶ ἐν ἑτέροις πάλιν ἀπαύγασμα. ἀλλ' ἡ ἑτερότης πολλὴ καὶ οὐχ ἁπλοῦν τὸ διάφορον. ἵνα τί γοῦν μὴ τὸν καρπὸν ἐκ τοῦ κλάδου καὶ τὸ ἀπαύγασμα ἐξ ἀκτῖνος ὁ σοφὸς τὰ πάντα καὶ τὰ ἑαυτοῦ εἰδὼς ἄριστα ἀπεφήνατο, ἀλλ' ἐκ τῆς ῥίζης καὶ ἐξ ἡλίου; μήποτε οὖν καὶ ἄμφω κλάδοι καὶ ἄμφω καρποὶ ἢ καὶ ἀκτῖνες καὶ ἀπαυγάσματα ἐν ἀλλήλοις ἡνωμένα καὶ ἀνακεκραμένα ἀρρήτοις λόγοις, μὴ παραποιοῦντα τὰ ἰδιώματα. πῶς δὲ καὶ ἕξει χώραν ἐν ἀσχηματίστοις, ἐν ἀναφέσιν, ἐν πᾶσιν ἀπηλλαγμένοις αἰσθητικῆς ἀντιλήψεως καὶ ἐμφάσεως τὰ τόπῳ καὶ διαστάσει περιγραφόμενα; βούλομαι καὶ αὐτὸς τρεῖς ταῦτα λέγειν ἡλίους, ἐξ ἑνὸς τῶν δύο ἐχόντων τὴν ὕπαρξιν, ἀλλὰ θροεῖ με διορισμὸς καὶ περιγραφὴ καὶ τὸ μὴ πάντα ἐν ἀλλήλοις ταῦτα γνωρίζεσθαι. θράττει με καὶ ἡ ῥίζα καὶ ὁ κλάδος καὶ ὁ καρπός, εἰ ἐν ὑποστάσει μιᾷ μέρη ταῦτά εἰσιν, ἐξ ὧν τὸ ὅλον συνέστηκεν. ἀλλὰ καὶ ὁ ἥλιος ἄτομον, καὶ πῶς ἡ τρισυπόστατος φύσις ἐν ἑνὶ ἀτόμῳ εἰκονισθήσεται, μέρεσι σπαραττομένη καὶ διαιρουμένη, ὧν ἕκαστον τῇ τοῦ ὅλου φύσει οὔτε συνέστηκεν οὔτε ὠνόμασται; θεὸς δὲ ὁ πατήρ, θεὸς ὁ υἱός, θεὸς τὸ πνεῦμα τὸ ἅγιον· ἐξ ἑνὸς τὰ δύο ὡς αἰτίου αἰτιατά, τὸ μὲν γεννητῶς, τὸ δ' ἐκπορευτῶς, καὶ ἀλλήλοις συμπεφυκότα καὶ ἀεὶ συνόντα ὡς ὁμοούσια. εἰ δ' ὁμοούσια, πάντως καὶ ὁμοδύναμα, μὴ τῆς τοῦ αἰτίου οὐσίας ὁπωσοῦν εἴτουν ἐνεργείας εἴτε δυνάμεως ὑφιέμενα. εἰ δ' ἔστι καὶ ἑτέρα ἰδιότης ἀμφοῖν, ὡς τὸ μὲν ἐξ ἑκατέρου

Nic. Blem. l. c. I 9 sq.

δίδοσθαι ἢ ἀποστέλλεσθαι ἢ χορηγεῖσθαι ἢ ὁπωσοῦν ἄλλως ἐθέλεις καλεῖν, τὸ τῆς ἐκπορεύσεως μόνον εὐλαβούμενος ὄνομα ὡς ἀρχὴν παραδηλοῦν οὐσιώσεως, ἑκάτερον δὲ ἐξ ἑκατέρου, οὐκέτι γε καὶ διὰ ταῦτα ἐπιφέρεις μοι σὺ τὴν ἐκπόρευσιν ὡς ἐξ ἀνάγκης ἑπομένην, ἵνα συσταλῶσι τὰ ἰδιώματα. τίς εἶ ὁ ταῦτα φιλοκρινῶν; εἰ μὲν οἶδας τὸν

---

12 *πάσης* C *ἀπηλλαγμένης* BCd 25 *καὶ ἀεὶ* A *ἀεὶ καὶ* BCd *ὡς*] *καὶ* d 27 *ἐφιέμενα* BCd

τῆς ἐκπορεύσεως λόγον, τίνι τῆς γεννήσεως διενήνοχε, τότε ἂν γνοίης τὸν τῆς ἀποστολῆς καὶ τῆς χορηγίας, τίνι διαφέρει τῆς ἐκπορεύσεως· ἀλλὰ μὴν οὐκ ἐκεῖνο, καὶ τοῦτο ἄρα οὐδ᾽ ὅλως. ἔμμενε ταῖς κειμέναις τῶν συλλαβῶν, καθὼς πολλάκις σοι εἴρηκα, ἔχου τῶν δεδογμένων ὡς ἀληθῶν, μή σοι κεραία τῶν λογίων παραθραυσάτω. εἰ γὰρ ἐπὶ τῶν ἐνταλμάτων Χριστοῦ εὐφορητὸς ἐν τοῖς τοιούτοις ὁ κίνδυνος, ἐπὶ τοῖς θεολογίας ὀνόμασιν ὁπόσον οὗτος ὀλεθριωτέρος.

13. Ἐρῶ σοι λόγον οὐ φλαῦρον, μόνον ὑπόθες μοι οὖς καὶ μὴ ζυγομαχήσῃς εἰς τὴν ἀλήθειαν. εἰ καὶ ἐκ τοῦ υἱοῦ ἦν τὸ πνεῦμα ἐκπορευτόν, οὐκ ἂν τὸ τοιοῦτον σιωπήσας ὁ υἱὸς ἐκ τοῦ πατρὸς ἐδογμάτισεν. εἰ γὰρ ἐκ τοῦ υἱοῦ, πάντως Phot. καὶ ἐκ τοῦ πατρός· ἐκ τοῦ πατρὸς γὰρ ὁ υἱὸς καὶ πάντα l. c. 801 D τὰ τοῦ υἱοῦ· οὐ μήν, εἰ ἐκ τοῦ πατρός, καὶ ἐκ τοῦ υἱοῦ ὡς ἐξ ἀνάγκης ἂν εἴη ἑπόμενον. ἔδει γοῦν τὸ πρῶτον ἐρεῖν, ἵν᾽ ἀκολουθήσῃ τὸ δεύτερον· τὸ δὲ δεύτερον εἰρηκὼς οὐκέτι φέρει τὸ πρῶτον. ὅτου γοῦν χάριν παρέλειψε τὸ ἀμφίβολον, δεδιδαχὼς τὸ παρὰ πᾶσιν ὁμολογούμενον; ἔμοι γε δοκεῖν, ἵνα τοιαύτης ἐννοίας ἀπαλλάξειε τοὺς μέλλοντας τὸ κήρυγμα δέχεσθαι, ὡς ἂν ἔχοιεν φρονεῖν καὶ λέγειν ἐκ τοῦ πατρὸς τὸ ἅγιον πνεῦμα ἐκπορεύεσθαι, ἐνεῖναι δὲ ἢ συνεῖναι υἱῷ καὶ τὴν ἀποστολὴν καὶ τὴν χορηγίαν ἢ καὶ τὴν δόσιν λαμβάνειν ἐκ τούτου, τὴν κατ᾽ εὐδοκίαν λέγω σύμπνοιαν καὶ ὁμόνοιαν.

14. Βιάζεις γοῦν με ῥῆσιν εἰπεῖν, ἣν Χριστὸς οὐκ ἐδίδαξεν, ἀπόστολος οὐ παρέδωκε, διδάσκαλος οὐ παρέθετο. ὀκνῶ τὸν λόγον, μάλιστα δέ γε πεφόβημαι, μὴ θέλων θρασέως θεολογεῖν οὐ μόνον φωτὸς ἐκπέσοιμι τοῦ θεοῦ, ἀλλὰ καὶ εἰς σκότος ῥιφῶ τὸ ἐξώτερον. οὐ βούλομαι θεολόγος τολμηρὸς ὀνομάζεσθαι, ἐξὸν δειλίᾳ με σώζεσθαι· οὐ δέχομαι κακῶς ἀνδρίζεσθαί με καὶ πίπτειν, ἐξόν με διατηρεῖσθαι

---

6 Matth. 5, 18.

---

1 τίνι] τί μοι Bd 8 πόσον? οὕτως BC 9 post ὀλεθριώτερος explicit C 11 ζυγομαχῆσαι B corr. d 17 ἵνα d 20 δοκεῖ d 22 τὸ πνεῦμα τὸ ἅγιον BCd 32 καλῶς A in κακῶς corr. B

συστολαῖς ἄτρωτον. ἔχε σὺ τὸ θράσος κἀγὼ τὴν δειλίαν· καλὸν τοῖς τοιούτοις δειλιᾶν μᾶλλον ἤ γε θρασύνεσθαι. Ἴκαρον καὶ μῦθος κηρίνοις τοῖς πτίλοις ἀεροπορῆσαι ἀποθαρσήσαντα οὐ διέσωσεν, ἀλλ' εἰς πέλαγος ἔρριψε τοῦ κηροῦ τακέντος ἀκτῖσιν ἡλιακαῖς. ἆρ' οὖν πείθομεν ὑμᾶς τοῖς τοιούτοις λόγοις, καὶ πάσχοιτε καὶ ὑμεῖς τὸ τῆς δειλίας ταύτης πάθος, ἣν καὶ κρείττους ὑμῶν πολλοὶ δεδειλιάκασιν, ἥτις καὶ σώζει καὶ οὐκ ἀπόλλυσι; καὶ γὰρ πραγματεύσασθαι τὴν σωτηρίαν ἀκαμάτως ἐξόν, τί τοῖς κινδύνοις αὐθαιρέτως ἐμπίπτομεν; δέον συστεφανοῦσθαι τοῖς προαγωνισαμένοις ἡμῶν πόνων ἄτερ καὶ λόγων μακρῶν, τί ἀδήλοις πράγμασιν ἐπιρρίπτομεν ἑαυτούς; μὴ κόραις ἀκορέστως ἐχούσαις τῶν τοῦ ἡλίου ἀμαρυγμάτων ἐπεντρανίσαις αὐτοῖς, μή ποτε τὸ τῶν ὀφθαλμῶν ἀποβάλῃς φῶς τῇ τῶν ἀκτίνων λαμπρότητι· διὰ παραπετασμάτων ἢ ἐν ἀέρι αὐτὸ καταλάμβανε, καὶ ἔχεις μετὰ τῆς ὠφελείας τὴν ἡδονήν. μὴ εἰς πέλαγος ἄπειρον κυβιστᾶν ἐθελήσῃς· ἀρκέσθητι ποταμοῖς ἢ καὶ λίμναις εὐπεριγράπτοις τὴν τέχνην τοῦ κολυμβᾶν ἐπιδείξασθαι.

15. Δεῦτε οὖν στῶμεν ἅμα εἰς οἶκον κυρίου, καὶ ᾆσμα ᾄσωμεν οὐ καινόν — τοῦτο γὰρ παρῳδήσω τῶν τοῦ Δαβίδ· — παλαιὸν γάρ, εἰ καὶ τῆς νέας διαθήκης καὶ κρείττονος. πάλαι γὰρ τοῦτο παρὰ Χριστοῦ δεδιδαγμένοι οἱ τὴν κρείττω σοφίαν μετέωροι τοῖς εὐσεβεῖν ᾑρημένοις παρέθεντο, ἀπαράθραυστον φυλάττειν ἐγκελευσάμενοι. δεξώμεθα τὴν αὐτῶν προσταγὴν ὡς τῆς ψυχῆς φυλακήν, ἀσπασώμεθα τὰ ἐκείνων διδάγματα ὡς πρὸς σωτηρίαν συντάγματα, καὶ ᾄσωμεν τοῦτο δὴ τὸ ᾆσμα ἐπὶ τὸ αὐτὸ συνδραμόντες, εἰς μίαν συμφωνίαν ἡμᾶς συναγαγόντος τοῦ πνεύματος, τοῦ ἐκπορευομένου μὲν Io. Chrys. c. Ar. 2. παρὰ πατρός, ἀναπαυομένου δὲ ἐν υἱῷ ἢ συνόντος υἱῷ, παρ' αὐτοῦ δὲ καὶ ἀποστελλομένου καὶ διδομένου καὶ ὅσα τοιαῦτα, καθὼς τὰ τρία οἴδασι καὶ τὸ ἕν, ὧν τοὺς ἀριδηλοτέρους τῶν λόγων ἀποκεκρύφασι· καὶ ἀλαλάξωμεν ἅπαντες

---

19 Psalm. 65, 13.

---

1 ἄτρωστον A ἄνθρωπον Bd 13 ἐπεντανύσαις d 14 ἀποβάλλῃς Ad 22 τοῦτο om. A 23 εἰρημένοις d

ἐν μιᾷ φωνῇ τὸ κοινὸν τοῦτο τῆς ἡμετέρας πίστεως σύμβολον, τὴν καλὴν ἡμῶν παρακαταθήκην τῆς εὐσεβείας, ἣν ἀκεραίαν φυλάξαιμεν, καὶ δοξάσαιμεν τὴν μίαν θεότητα καὶ βασιλείαν, ᾗ πρέπει δόξα κράτος τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. ἀμήν.

Λόγος δεύτερος περὶ τῆς ἐκ πατρὸς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως.

1. Ἐπειδὴ τὸν πρῶτον λόγον χάριτι τοῦ πνεύματος ὡς f. 197v
δυνατόν γε συνεστησάμεθα, ἐν ᾧπερ οὐκέτι δέον εἶναι λέγειν ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον ἁπλαῖς ἐννοίαις παρεστησάμεθα διδασκάλου Χριστοῦ καὶ τῶν πατέρων ἑπόμενοι, φέρε δὴ καὶ ἀποδείξεσιν αὐτὸ καθάπερ εἰκὸς πιστωσόμεθα· οὐ γὰρ τοῖς ἁπλοῖς τῶν λόγων καὶ ἀπεριέργοις ὡς οἶμαι οἱ τῇ προσθήκῃ χαίροντες ἀρκεσθήσονται, ἀλλὰ καὶ λόγους ζητήσουσιν ἐκ τῆς κάτω σοφίας καὶ πατουμένης καὶ | προτάσεις ἀπαιτήσουσι καὶ τὰ ἑπόμενα συμπεράσματα, | 198r
ἐπαγωγάς τε εἰς πίστωσιν καὶ τὰ δι᾽ ἀδυνάτου πρὸς τὰ προκείμενα καὶ ὅσα ἄλλα τῶν ἐντέχνων παιδευμάτων καὶ κομψευμάτων, ἃ τὸ καθ᾽ ἡμᾶς μυστήριον ὑπερέβαλεν ἢ ἀπέβαλε. καὶ οὐ τὸ πρῶτον λέγω τὸ ἐν θεότητι, ἀλλὰ καὶ τὸ δεύτερον καὶ κάτω τὸ ἐν ἀνθρωπότητι. ἤκουσα καὶ τῶν Ἑλλήνων τοὺς θεολόγους μὴ πάντα τὰ τῶν θεῶν αὐτῶν παριστῶντας ταῖς ἀποδείξεσι, καίτοι γε πλάσματα ὄντα τούτοις τὰ τῶν θεῶν, ὧν τῆς διανοίας ἀναποχὴ ἡ οὐσία καὶ οἷς ἡ λήθη φθορά, ἀλλὰ καὶ θέσεις προάγουσιν ἀμέσους καὶ ἀναποδείκτους καὶ θεσπίζουσιν αὐτὰς ὡς ἀληθεῖς παραδέχεσθαι. ἡμᾶς δὲ τί τὸ εἰς τοσαύτην ἐλάσαν ἀβελτηρίαν — ὀκνῶ γὰρ λέγειν μανίαν —, ὡς εἰ μὴ καὶ αὐτὸ ὅτι ἔστι θεὸς ἀποδεικτικὸν ἀποφηναίμεθα, οὐκέτι στερκτὸν λογισαίμεθα, δεδοικότες οἷον μὴ λάθοιμεν θεὸν τοῖς λόγοις συναπολέσαντες ἢ τῷ ἀναποδείκτῳ ζημιωθέντες τὴν πρόνοιαν;

---

19 κοψευμάτων B = cod. Mosq. 368. 29 λογιζαίμεθα B

ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες Ῥωμαῖοι, ἁπλοῦν οὕτω φυλάττειν τὸ κήρυγμα καὶ μὴ ποικίλον ταῖς ἀντιθέσεσιν. ἐπεὶ δ' ὁ τῆς ἁπλότητος ἐξοστρακίσας πάλαι τὸν ἄνθρωπον, ὑπὸ τῆς αὐτοῦ διπλόης ἐξαπατήνας καὶ εἰς τὸ τῆς ὕλης καταγαγὼν πολύτροπον καὶ πολύμορφον, καὶ τὸ τῆς ἡμετέρας πίστεως εἰς πολυσχιδεῖς τινας ἐννοίας διέτεμε κἀντεῦθεν χρεία λόγων πολλῶν, εἴ πως τὸ ψεῦδος ἀποκριθείη τοῦ ἀληθοῦς, ἤδη καὶ ἡμεῖς τῷ πνεύματι τῷ ἁγίῳ θαρρήσαντες τὸν μέγιστον ἀγῶνα τοῦτον εἰσέδυμεν, ἐκεῖθεν ἐπηλπικότες ῥοπὴν εἰς τὸ λαλῆσαι μετὰ τοῦ πνεύματος τὰ τοῦ πνεύματος, ὅθεν ἅπαν καταβαίνει δώρημα τέλειον.

2. *Τί γοῦν καινόν, εἰ καὶ ὁ τῆς ὄνου πρότερον ἀνοίξας τὸ στόμα, ἵνα προφητεία λεχθείη περὶ Χριστοῦ, καὶ νῦν τοῦ ἡμετέρου νοὸς ἀποβαλεῖ τὴν ἀχλὺν καὶ τὴν ἐπιπροσθοῦσαν τῷ τῆς ψυχῆς ἡλίῳ σκοτόμαιναν διασκεδάσει ὡς ὅτι γε πορρωτάτω, ἵν' ἐν φωτὶ κατίδωμεν φῶς, ἐν πνεύματι τὰ* Io. Dam. l. c. *τοῦ πνεύματος; λάλει μοι δὴ πρῶτον αὐτὸς τὰ σαυτοῦ, ταῖς σαῖς ἐπίπληξόν με βολαῖς· τὴν ἀσπίδα γὰρ ἤδη τῆς ἀληθείας προβέβλημαι· καὶ δέξομαί σου πρότερον τὰς βολάς, εἶτά σε ταῖς ἐμαῖς ἀντιπλήξαιμι καὶ ἀποπειράσομαι τῆς δυνάμεως.*

3. *Ἓν μὲν δὴ τοῦτο καὶ μάλα τούτοις ἰσχυρὸν ἀναφαίνεται, ὅπερ ἐν τοῖς εὐαγγελίοις εἶπε Χριστός· 'ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται'. τοῦτο δὴ οἱάπερ διφυὲς βέλος κατὰ τῶν ἀντιλεγόντων ἐκπέμπουσιν, ἔκ τε τοῦ πέμψω καὶ ἐκ τῆς ἀληθείας τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ ἐκπορευόμενον ἀποδεικνύναι πειρώμενοι. 'εἰ γὰρ τὸ πνεῦμα', φασί, 'πέμπεται παρὰ τοῦ πατρός, πέμπεται δὲ καὶ παρὰ τοῦ υἱοῦ ταυτοτρόπως, ἐκπορεύεται διὰ ταῦτα δὴ καὶ ἐκ τοῦ υἱοῦ'· κἂν γὰρ οὗτος τοῖς διαλεκτικοῖς πολλὴν αὐχῶν τὴν ἰσχύν* ὡς τοῖς αὐτοῖς πάντως ἕπεται τὰ αὐτὰ ὥσπερ τῷ ἐναντίῳ τὸ*

---

11 Jacob. 1, 17. **12** Num. 22, 28. **23** Io. 15, 26.

32* hic compluria intercidisse videntur

ἐναντίον καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ. καὶ μὴν οὔτε τοῦτο ἐπὶ πάντων ἠλήθευκεν οὔτ' ἐκεῖνο τὸ ἀκλόνητον ἔσχηκεν. εἰ γὰρ ὕπνῳ ἐγρήγορσις ἠναντίωται, ἕπεται δὲ ταύτῃ τὸ ζῆν, τὸ θανεῖν τῷ ὕπνῳ ἐφέψεται, | [198v] καὶ εἰ τῷ καθημένῳ ἐμψύχῳ εἶναι, τῷ ἱσταμένῳ ἀψύχῳ εἶναι. ἀλλ' οὔτε τοῖς αὐτοῖς ἕπεται τὰ αὐτά, εἰ ἐφ' ἑτέροις ἀτόμοις ταῦτά γε τεθεώρηνται. τῷ γὰρ πλουτεῖν ἕπεται μὲν ἔν τινι εὐδοξία, ἐν ἄλλῳ δὲ ἀδοξία, καὶ τῷ μὲν πλεύσαντι ὤνησεν, ἑτέρῳ δὲ ἕψεται τὸ ναυάγιον. καὶ οὐκ ἄν τις ἄλλως ἔχειν ἀπισχυρίσαιτο. ταῦτα μὲν εἰρήσθω πρὸς τοὺς διαλεκτικοὺς κανόνας καὶ τὰ τεχνάσματα. εἰ δὲ προστίθῃς τῇ πέμψει τὸ φύσει — ἀκούω γάρ καί τινων ὑμῶν τὸ τοιοῦτον λεγόντων — κἀντεῦθεν ὁ δεινὸς καὶ ἄμαχος συμπλέκεταί σοι συλλογισμός, ὡς ἡ φύσει πέμψις ἐκπόρευσις, σοφιστεύεις πάλιν καὶ οὐ συλλογίζῃ μοι τὴν ἀλήθειαν. ἔστι δὲ ὡς οἶμαι παρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ὁ παραλογισμὸς οὗτος· δέον γὰρ δι' ἄλλου δεῖξαι τὴν φύσει πέμψιν ἐκπόρευσιν, ὡς ὁμολογουμένην εἴληφας πρότασιν. ἀλλ' οὐκ ἔστιν ἡ φύσει πέμψις ἐκπόρευσις ὥσπερ οὐδ' ἡ ἐκπόρευσις πέμψις· ἄλλο γὰρ πέμψις καὶ ἄλλο ἐκπόρευσις. τοῦτο δὲ σαφῶς ὁ Χριστὸς ἑρμηνεύει σοι· τὸ μὲν γὰρ οἰκεῖον πέμψιν ὠνόμακε, τὸ δὲ πατρικὸν ἐκπόρευσιν. εἰ γὰρ μὴ ἄλλο καὶ ἄλλο, πῶς οὐκ ἐκεῖ τὴν πέμψιν προέφερεν ἢ ἐν αὐτῷ τὴν ἐκπόρευσιν; ἐν γὰρ μιᾷ περικοπῇ τὰ ἀμφότερα.

4. Ἐγὼ δὲ καὶ τὸν ⟨χρόνον⟩ ἐνσημηνάμενος, πολλὴν ἐν τούτοις εὑρίσκω διαφοράν. τὸ γὰρ πέμψω μέλλοντος χρόνου καθέστηκεν, ἐνεστῶτος δέ γε τὸ ἐκπορεύεται. καὶ μὴν εἰ ταὐτὸν, ἄλλως ὤφειλε λέξαι ταυτί. ὁ γὰρ πέμψων παρῆν καὶ προσωμίλει, καὶ οὐχ ἕτερος ἦν ὁ μέλλων τοῦτο ἐργάσασθαι· μία γὰρ μετὰ τὴν ἕνωσιν ἡ ὑπόστασις. καὶ εἰ αἰωνικῶς πέμπει τὸ πνεῦμα εἴτουν ἐκπορεύει, ἐξεπόρευε καὶ τότε αὐτὸ καὶ τὸν λόγον οὕτω προήγαγε, καθὼς καὶ περὶ τοῦ πατρὸς τῷ παρατεταμένῳ τοῦ χρόνου παρεσημήνατο. ἆρ' οὖν συνίης τῶν λεγομένων μοι; πέμψειν φησὶ τὸ πνεῦμα

---

3 ἐναντίωται B **6** ἕψεται B **7** τὸ B **8** ἐν ἄλλῳ δὲ ἀδοξία bis B μὲν] δὲ B **25** ⟨χρόνον⟩ addidi

ὁ κύριος, τοῦτο δὲ λέγει παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι. οὐδὲν οὖν τὸ ταὐτὸν τῆς ἐκπορεύσεως καὶ τῆς πέμψεως ὥσπερ ἀμέλει οὐδὲ τῶν χρόνων, οἷς τὰ τῶν ῥημάτων κεχαρακτήρισται. τί δὲ μὴ καὶ σύνδεσμος συνάπτει τὰ ὀνόματα εἴτε ῥήματα, εἰ παντάπασιν ἐταυτίζοντο;

Io. Dam. l. c.

5. Οἶμαι δέ σε ζητεῖν αὐτῶν τὸ διάφορον. τοῦτο μόνον μοι λάμβανε πίστιν, καὶ τὸν λόγον οἶδε θεὸς ὃς ἐκπορεύει καὶ ὃς πέμπει καὶ ὃς ἐκπορεύεταί τε καὶ πέμπεται. γενοῦ μοι πρῶτον καὶ σύ θεός, καὶ τότε γνωρίσεις τὰ τοῦ θεοῦ ἀκριβῶς· ἡ γὰρ φύσις ἑαυτὴν ἐπιγνώσεται. εἰ δὲ τοῦτο ἀδυνατεῖς, πῶς καὶ ὁ τῶν κάτω μὴ καλῶς εἰδὼς τὰ διάφορα ἐπὶ τῆς ἀγνώστου καὶ ἀνεκλαλήτου παντάπασι φύσεως λεπτολογεῖς τὰ νοήματα;

6. "Ἀλλὰ τὸ τῆς ἀληθείας πνεῦμα υἱοῦ· εἰ δὲ υἱοῦ φησιν, ἐξ υἱοῦ· πνεῦμα γὰρ τοῦ πατρός, ἐπείπερ καὶ ἐκ πατρός.' ἐγὼ δέ σοι ἀντιστρέψας τὸν λόγον ἐρῶ· ὅτι μὲν ἐκ τοῦ πατρός, τοῦ πατρός, ὅτι δὲ τοῦ υἱοῦ, οὐκ ἐκ τοῦ υἱοῦ. εἰ γὰρ ἐκ τοῦ υἱοῦ, τοῦ υἱοῦ, οὐ μὴν εἰ τοῦ υἱοῦ, ἐκ τοῦ υἱοῦ. οὐ γὰρ ὅτι τοῦδε, καὶ ἐκ τοῦδε ἀνάγκη, ὃ δὲ ἐκ τούτου, καὶ τούτου πάντως ἐξ οὗ γε εἶναι καὶ λέγεται. εἰ δὲ καὶ αὖθις τοὺς λόγους μοι ἀπαιτεῖς τῆς πέμψεώς τε καὶ τοῦ λέγεσθαι τοῦ υἱοῦ, ἔγωγε μὲν ἀπορῶ, ἐπεὶ μὴ φύσει 199r | θεός, | τάχα δὲ οὐδὲ τῇ χάριτι γέγονα· εἰ δὲ καὶ τοῦτο ὁ

Cyrill. de ador. I 93. 147.

ἐνανθρωπίσας εὐδόκησε, τὸ πρῶτον δὲ ὡς ἀδύνατον. πῶς γοῦν σοι τοὺς λόγους διασαφήσω; πῶς ἑφερμηνεύσω σοι τὰ ἀπόρρητα; μικρᾷ κοτύλῃ τὸ Ἀτλαντικὸν ἐξαντλῆσαι προστάττεις μοι πέλαγος ἢ μέτρῳ περιλαβεῖν τὴν ἄπειρον θάλασσαν ἢ ἀριθμῷ ψάμμον ἢ χύμα ἄστρων τῶν ἀπλανῶν.

id de trin. 19. id. de inc. 34. Phot. l. c. 370 D Aristot. Met. 982 b

ῥᾴω δὲ ταῦτα οἶμαι πολὺ ἢ τὰ περὶ θεοῦ ἐξειπεῖν, ἃ μὴ τοῖς ἀνθρώποις αὐτὸς ἐξεκάλυψεν ἢ διετράνωσεν. ἔνια καὶ γὰρ οὐδὲ παντελῶς ἐξεγύμνωσεν, ἀλλὰ μικρὰς μὲν ἐμφάσεις δέδωκεν, αὐτὰ δὲ τὰ πράγματα ὅπως ἔχουσιν οὐ παρέστησεν. οὐδὲ γὰρ εἶχεν ἡ φύσις χωρεῖν· οἷς γὰρ οἶδεν ἀρκεῖν τῆς μεταδόσεως οὐκ ἐφθόνησεν· ἀμέθεκτον γὰρ φθόνου τὸ θεῖον. εἰ γοῦν ἡμεῖς σπουδάσαιμεν ἐπιγνῶναι ἃ μὴ ἐξὸν ἐπιγνῶναι,

---

23 γέγονεν B **26** μικρὰ κοτύλη B

καὶ ὧν ἐξὸν ἐν γνώσει εἶναι δικαίως πάθοιμεν στέρησιν, τῷ λιχνοτέρῳ τῆς κινήσεως τὴν ἑνοῦσαν διαφθείραντες δύναμιν.

7. Ἀλλ' ὁ λόγος μοι ἐχέσθω τοῦ δρόμου, εἰ καὶ μικρὸν τῆς προκειμένης ἐξένευσεν. οὐ πέμψις ταὐτὸν καὶ ἐκπόρευσις, καὶ πολλοῖς ὡς ὑπείληφα ἀποδέδεικται· οὐκ ἄρα δὴ τὸ πνεῦμα διὰ τὴν πέμψιν ἐκ τοῦ υἱοῦ, κατὰ ταὐτὰ δὴ καὶ οὐκ ἐξ αὐτοῦ διὰ τὸ εἶναι αὐτοῦ. ὅπως δὲ αὐτοῦ καὶ πέμπεται παρ' αὐτοῦ, τοῦ πνεύματος χορηγοῦντος τὴν ἰσχὺν παρακατιόντες διασαφήσομεν. τοῦτο δὴ τὸ πρῶτον βέλος αὐτῶν βέλος ἡμῖν νηπίων λελόγισται· ἀποχρώντως γὰρ ᾠκονόμηται τὸ μὴ τὴν πέμψιν ἐκπόρευσιν διὰ ταῦτα δεῖν δογματίζειν τοῖς τρέχειν προῃρημένοις τὸν τῆς εὐσεβείας δρόμον ἀπρόσκοπα, ὅπου ζωὴ τὸ κατάντημα καθὼς ἡ παρέκκλισις ὡς ἄν τις εἴπῃ ὁ ἀθάνατος θάνατος. ἁρμόζουσι δὲ τὰ προλελεγμένα καὶ πάσαις ῥήσεσιν, αἳ τὸ πνεῦμα τοῦ υἱοῦ (Phot. l. c. 328.) εἶναι φάσκουσι, καὶ τοῖς τοῦ ἀποστόλου Παύλου πνεῦμα Χριστοῦ καὶ πνεῦμα υἱοῦ καὶ πνεῦμα σοφίας καὶ ὅσα ἄλλα τοιαῦτα, ἃ μεταφέρειν οἴδασιν εἰς Χριστὸν τὰς ἄλλας ἀφέντες ἐννοίας οἱ δογματίζοντες ἐκ τοῦ υἱοῦ τὴν ἐκπόρευσιν. ἃς γὰρ ἐν ταῖς προειρημέναις ἀντιθέσεσι λύσεις ἀνθυπεφέρομεν, ταύτας κἀν τούτοις ὑποίσομεν.

8. Πάλιν δ' ἑτέρωθεν τὸ 'ἐκ τοῦ ἐμοῦ λήψεται' ἐπιχειρεῖ (Cyrill. thes. 350.) με βάλλειν ὡς ἀνιάτρευτα. ἐγὼ δ' οὐ μόνον πρὸς τὴν θεραπείαν χρονίσαιμι, ἀλλ' οὐδὲ τὴν τρῶσιν ὅλως εἰσδέξομαι. λαμβάνειν μὲν ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα, τίς ἀμφιβαλεῖ τῶν πιστῶν; ἀλλὰ λαμβάνειν τὴν ἔκφανσιν, τὴν δόσιν, τὴν χορηγίαν. ἐρῶ τι καὶ τῶν σῶν· τὸ πάντα ἔχειν ὅσα δὴ ὁ υἱός, τὸ ταὐτὸν τῆς οὐσίας τῆς δυνάμεως τῆς ἐνεργείας καὶ τῶν ἰδιοτήτων ἄνευ ἁπάντων ἁπλῶς λαμβάνει μὲν καὶ ἐκ τοῦ πατρός, ἀλλὰ τὸ εἶναι αὐτὸ καὶ τὴν ὕπαρξιν· οὐ ταῦτα δὲ μόνον, ἀλλά γε δὴ καὶ ὅσα προσλαμβάνει ἐκ τοῦ υἱοῦ. ἐμὲ

---

17 Rom. 8, 9. Gal. 4, 6. Ephes. 1, 17. 23 Io. 16, 14.

---

13 προειρημένοις B 14 καρέκκλισις B 22 ἀνθυποφέρομεν B 27 ἔκφασιν B 32 προσλαμβάνειν B

[Phot. l. c. 301. 312.] δὲ πλεῖστα θράττει τὸ μὴ 'ἐξ ἐμοῦ λήψεται' ἀλλ' 'ἐκ τοῦ ἐμοῦ' εἰρῆσθαι παρὰ Χριστοῦ. οὐ γὰρ ταυτὰ καὶ ἄμφω οὐδ' εἰς τὴν αὐτὴν ἀνάγοντα ἔννοιαν ἀνάρθρως καὶ ἐνάρθρως φερόμενα. [ibd. 805 D sq.] βούλει σοι ἐξειπεῖν τὸ παρ' ἐμοῦ ἐν τῷ [199ᵛ |] τοιούτῳ διανοούμενον; 'ἐκ τοῦ ἐμοῦ | λήψεται' εἴρηκεν, τὸν τῆς οἰκονομίας λόγον δεδηλώκαμεν. αὐτὸς γὰρ κατῆλθεν εἰς γῆν, αὐτὸς διὰ πείρας τὴν ἀνθρωπίνην ἔσχηκεν εἴτε φύσιν εἴτε γνῶσιν εἴτε βελτίωσιν. καὶ ὥσπερ αὐτός φησιν 'ἐρωτήσω τὸν πατέρα καὶ ἄλλον παράκλητον πέμψει', οὐχ ὡς ἐλαττούμενος τοῦ πατρὸς διὰ τὴν ἐρώτησιν, καὶ 'ἅπερ ὑμῖν λαλῶ οὐκ ἐξ ἑαυτοῦ λαλῶ, ἀλλ' ὅσα ἤκουσα ἐκ τοῦ πατρός μου ἐκεῖνα λαλῶ', οὕτω δή φησιν οὗτος καὶ 'τὸ πνεῦμα, ὅπερ ἐλεύσεται ὑμῖν, ἐκ τοῦ ἐμοῦ λήψεται', εἴτουν λόγου τρόπου διδασκαλίας καὶ πάντων ὧν προτέθεικα εἰς ἀνθρώπων ὄνησιν, οὐχ ὡς ἄρτι λαμβάνον ὅτε τὸ λήψεται ἔσχεν ἐνέργειαν, ἀλλ' ὡς πρὸ αἰώνων ἀφωρισμένου μυστηρίου ἐκτερματοῦν τὴν τελείωσιν, τάξει θείᾳ τούτου ἐκδηλουμένου καὶ ἀποβαίνοντος εἰς ἐνέργειαν· οὐχ ὡς ἀντιλέγον γὰρ ἥξει, ἀλλ' ὡς συνᾷδον τοῖς δεδιδαγμένοις πρὸς τὴν ἀλήθειαν. οὕτως ἐκ τοῦ αὐτοῦ λαμβάνει τὸ πνεῦμα καὶ ἀναγγέλλει, οὕτως ἐκφαίνεται, οὕτως πρόεισι. ταῦτα δύνανται αἱ φωναί, οὐ πρὸς τὴν ἐκπόρευσιν ἀναγόμεναί τε καὶ ταὐτιζόμεναι, ἀλλ' ἑτεροῖον σημαίνουσαι καὶ τρόπον ἄλλον παριστῶσαί τινος ἰδιότητος καὶ σχέσιν καινοτέραν τῶν ἐφ' ἡμῖν, ἣν πρὸς τὸ πνεῦμα ἔσχηκεν ὁ υἱὸς καὶ τοῦτο δὴ πρὸς αὐτόν, παράκλητος πρὸς παράκλητον, ἀκτὶς πρὸς ἀκτῖνα, τὸ ἐκ τοῦ πρώτου πατρὸς ἀπαύγασμα πρὸς τὸ ἐκ τοῦ πρώτου κατὰ [Theod. Lasc. l. c. 182.] πάντα ἶσον ἀπαύγασμα. ταῦτα δυὰς ἀμερὴς ἐξ ἀμεροῦς ἑνὸς τοῦ πατρὸς οὐσιούμενα, τὸ μὲν γεννητῶς, τὸ δ' ἐκπορευτῶς.

9. Εἰ οἶδας τὸν τρόπον τῆς ἑτερότητος, ἣν ἔσχεν ἐκπόρευσις πρὸς τὴν γέννησιν, γνώσῃ καὶ τὸν τρόπον τῆς τοῦ πνεύματος ἐκφάνσεως δι' υἱοῦ ἢ ἐξ υἱοῦ· οὐδὲν γὰρ ἐν

---

9 Ιο. 14, 16. **10** Ιο. 14, 10. 16, 13. **12** Ιο. 16, 15.

---

6 δὲ δηλώκαμεν B **15** λαμβάνων B **18** ἀντιλέγων B **19** συνάδων B **21** ἀναγγέλει B

τούτοις πρὸς τὰς προθέσεις ζυγομαχήσομεν. ἀλλ' ἄρρητος ἐκεῖνος καὶ ἀνερμήνευτος καὶ οὕτως κατὰ ταὐτὸ παντάπασιν ἄδηλος. ἑρμήνευσόν μοι τὸ πρῶτον σύ, κἀγώ σοι διασαφήσω τὸ δεύτερον. εἰ δὲ ναρκᾷ σου ὁ νοῦς πρὸς σαφήνειαν, τί βιάζεις ἐμὲ δόξαις ἀλλοκότοις συντίθεσθαι; ἆρα πάντα ἡμῖν ἡρμήνευται τὰ τοῦ θεοῦ παρά τε Χριστοῦ καὶ (Phot. l. c. 305 D) παρὰ τῶν αὐτοῦ μαθητῶν καὶ παρὰ τῶν ἀρίστων ἐν θεολογίᾳ ἀνδρῶν, ἢ καί τι παρυποκέκρυπται καὶ ἀδιάγνωστον ἔμεινεν, ὡς ὑπερβαῖνον νοῦν τὸν ἀνθρώπινον; οἶμαι, οὐκ ἂν οὐχ οὕτως ἔχειν ἐρεῖς. σιώπα γοῦν καὶ αὐτὸς ἐν οἷς οἱ κρείττους σεσιωπήκασι, κήρυττε δὲ λαμπρᾷ τῇ φωνῇ τὰ τούτοις διαπρυσίῳ κεκηρυγμένα βοῇ· δέον γὰρ εὐσεβεῖν ἡμᾶς ἀληθέστατα χρωμένους ταῖς κειμέναις τῶν λέξεων.

10. *Τίς ἀνάγκη παραποιεῖν αὐτὰς βλαβερῶς καί, ὡς ἂν φανῶμεν σοφώτεροι καὶ πρὸς θεολογίαν ἐπήβολοι, λανθάνειν ἡμᾶς ἑαυτοὺς εἰς ἄγνοιαν ἀπωλείας ἐμπίπτοντας, τὸ πάντων ἐλεεινότατον; ὁ οὐρανὸς ἡμῖν εἰς σκέψιν ἐμφαίνεται, ἔκκειται δὲ γῆ, ὕδωρ, ἀήρ, πῦρ. φαντάσθητι πρῶτον τὰ ἐν οὐρανῷ κάλλη, γνῶθι τὰς κινήσεις τῶν ἀστέρων τῶν πλανωμένων καὶ ἀπλανῶν· σοφίαν ἐκ τούτων γνωρίσεις θεοῦ. εἶθ' οὕτως περὶ τῶν κάτω μοι φιλοσόφησον, | ἐξέτασον τὴν ποικιλίαν (| 200r) τῆς φύσεως· πάντα μαθήσῃ εἶναι θεοῦ. καὶ τούτων οὐκ ἐντελεῖς τὰς αἰτίας ἢ τὰς ἀρχὰς ἢ στοιχεῖα εὑρήσεις εἰς τὴν κατάληψιν, τίς τε ἡ ὕλη, τί τὸ εἶδος, καὶ εἰ συνεστήκασιν καθ' αὑτὰ καὶ ὅπως ἄμφω συνδεδραμήκασιν, τὸν σκοπὸν δὲ ὁλοσχερῶς νοήσεις τῆς φύσεως, εἰ τοῖς διαφόροις πᾶσι διάφορος εἴδεσιν ἢ τοῖς ὁμοίοις ὅμοιος ἢ ἐνίοτε μὲν ὁμοίοις διάφορος, διαφορουμένοις δ' ἐνίοτε ὅμοιος· τίνες οἱ τῶν σπερμάτων λόγοι οἱ ἀδηλότατοι, ἐν δὲ τῇ ἐκφύσει ἀριδηλότατοι· τίς ὁ σκοπὸς τῷ δημιουργῷ τῆς γενέσεως καὶ τῆς φθορᾶς, εἴπερ πᾶν τὸ γενόμενον φθείρεται, καὶ οὐκ ἐν ἀνθρώποις λέγω διὰ τὴν πτῶσιν, ἐπεί γέ πως καὶ παραμένει καὶ διασώζεται, ἀλλὰ καὶ ἐν ἄλλοις ζώοις διὰ τὴν σύμπτωσιν.*

11. *Ταῦτα φιλοσοφητέον ἡμῖν καὶ περὶ τοιούτων τὰς σκέψεις*

---

17 ἐμβαίνεται B

ποιητέον ὡς ἀκριβεῖς, τῶν δὲ τῆς θεολογίας ῥημάτων ὡς ἔσχον ἐξ ἀρχῆς ἀνθεκτέον τῆς θε[ολογίας]· ἀλλὰ θράττουσιν αὐτοὺς τὰ παρὰ τῶν διδασκάλων ἀγορευόμενα. καὶ οὐκέτι ἐρῶ ὡς Κυρίλλου μὲν τόδε, Βασιλείου δὲ τόδε καὶ αὖθις Ἀθανασίου καὶ τῶν Γρηγορίων καὶ ἄλλων, ἀλλ' ὁμοῦ πάντα συνάψας καὶ εἰς μίαν περικοπὴν παραθέμενος τοῖς πᾶσιν ἀντεπεξαγάγω λύσιν μίαν τὴν ἐφαρμόττουσαν. ὁ μὲν ἐκ τούτων προχεῖσθαι θεολογεῖ τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, ὁ δὲ προίεσθαι, ἅτερος δίδοσθαι καὶ ἄλλος χορηγεῖσθαι ἢ ἐκπέμπεσθαι, καί τινές τινα ἢ πάντες πάντα ταῖς οἰκείαις συγγραφαῖς ἐνεχάραξαν. ἐκχεῖσθαι μὲν παρὰ τοῦ υἱοῦ καὶ αὐτὸς τὸ πνεῦμά φημι, συμφάσκω τοῖς εἰποῦσι καὶ δίδοσθαι, καὶ χορηγεῖσθαι παρὰ τούτου οὐκ ἀπαναίνομαι, καὶ προιέναι καὶ πέμπεσθαι καὶ τἆλλα τῶν ὀνομάτων οὐκ ἀπαρνοῦμαι, οὔτε ταῖς προφοραῖς οὔτε πρότερον ταῖς νοήσεσιν. ἀλλ', ὦ φίλος, οὐχ, ὅπερ ἐκχεῖται μὲν καὶ χορηγεῖται καὶ δίδοται, ἐξ ἐκείνου δὴ καὶ οὐσίωται ἐξ οὗ καὶ χεῖται καὶ χορηγεῖται καὶ δίδοται. τὸ γὰρ ἐξ ἄγγους ὕδωρ καὶ ἡ ἐκ τῶν πυρείων ἀκτὶς ἐκ τούτων μὲν καὶ πέμπονται καὶ δίδονται, ἀλλ' οὐκ ἐκ τούτων οὐσίωνται. καὶ μή σε θορυβείτω τὸ ἐν ἑτεροουσίοις παράδειγμα· τῶν γὰρ παραδειγμάτων ὅσον ἁρμόττον πρὸς τὴν ὑπόθεσιν προσλαμβάνοντες τὸ περιττὸν ἀποβάλλομεν. ποῦ γὰρ καὶ εὑρεθείη παράδειγμα κατὰ πᾶν προσῆκον θεότητι; καὶ ἃ γὰρ ὑμεῖς φατε καὶ ἐν ἄλλοις ἡμεῖς, πολὺ τὸ ἀπᾷδον ἔχουσι, μικρὰν δέ τινα πρὸς τὸ προκείμενον τὴν ἐμφέρειαν, καί τι τῶν περὶ τὴν οὐσίαν χαρακτηρίζουσι, σχέσιν λέγω ἢ τρόπον ἢ κίνησιν ἢ ὅσα τῶν ἔξω, καὶ οὐκ αὐτὸ τὸ εἶναι τοῦ ὑπὲρ τὸ εἶναι πεφύκασι παριστᾶν.

Nic. Blem. l. c. I 8 sq.

12. Ἐντεῦθεν οὖν ἔχοντες τῶν λόγων τὰς ἀφορμὰς καὶ τὴν ἔκχυσιν ἢ δόσιν ἢ χορηγίαν εἴτε ἔκφανσιν οὐ τρόπον νοοῦμεν τῆς τοῦ πνεύματος οὐσιώδους ὑπάρξεως, ἀλλά τινος ἰδιοτροπίας ἄλλης παράστασιν. τὰς μὲν τοιαύτας φωνὰς παραδεχόμεθα καὶ προφέρομεν, σιωπῶμεν δὲ παντελῶς τὴν ἐκπόρευσιν. ἃ γὰρ νοοῦμεν, ἐξαγγέλλομεν εἰς ἀλήθειαν, πίστει βεβαιοῦντες τὴν γνῶσιν ἢ τῇ γνώσει τὴν πίστιν τρα-

2 θε[ολογίας] supplevi. 16 ἐκχῦται B 17 καὶ χῦται B ἐκχεῖται?

νοῦντες εἰς τὴν εὐσέβειαν. οὕτω σοι καὶ τὸ προϊὸν ἐκ τοῦ υἱοῦ διαλύομεν, οὕτω σοι καὶ τὸ πεμπόμενον καὶ χορηγούμενον | καὶ διδόμενον καὶ ὅσα ἄττα τῶν ὀνομάτων ἐπὶ τοῦ | 200v *υἱοῦ δογματίζουσι οἱ κρεῖττον ἡμῶν εἰδότες ταῦτα καὶ τὴν ἐν τούτοις ταὐτότητά τε καὶ ἑτερότητα, οἳ τὴν ἐκπόρευσιν παντάπασιν ἀπηγόρευσαν, ὧν τοῖς ὀνόμασιν ἡ τῆς ἐξαγγελίας προφορὰ μεμαρτύρηκε. τούτων γὰρ ἡ γνῶσις ὑπερανέβη τὸν οὐρανόν, τούτων ὁ φθόγγος εἰς πάντα γῆς ἐξεχύθη τὰ πέρατα. οὗτοι γὰρ ἐν Χριστῷ τοῖς τῆς εὐσεβείας λόγοις συνέσχον τὸ πᾶν, βροντῆς τρόπον ἢ ἀστραπῆς περιδονήσαντες ἢ περιαστράψαντες τὴν ὑφήλιον.*

13. *Ἐπεὶ γοῦν οὕτως ἡμῖν τὰ τοῦ Χριστοῦ σεσαφήνισται καὶ καλῶς τῶν λύσεων ἔσχηκε σὺν τοῖς καὶ ἅπερ οἱ ἱεροφάνται πάντες ἐδίδαξάν τε καὶ διετράνωσαν, οἳ μὴ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα εἰπεῖν τετολμήκασιν, ὅτι μὴ πᾶσα ἀνάγκη παρὰ τῶν λόγων αὐτοῖς ἀνεφαίνετο, καὶ τῶν λοιπῶν ἀρκτέον εἰς τὴν διάκρισιν. τέως οὖν, ἵνα τι καὶ μικρόν σοι προαναφωνήσω τῶν λόγων, πῶς, ὃ Χριστὸς οὐκ ἐδίδαξεν ἀπόστολός τε οὐκ οἶδεν — εἰ γὰρ οἶδε, καὶ ἐξελάλησεν ὁ τὴν τοῦ πνεύματος χάριν ἐν πυρίνῃ γλώσσῃ πᾶσαν δεξάμενος — οὐ συνελογίσαντο οἱ διδάσκαλοι, κατὰ τούς σοι προφερομένους ῥᾳδίως ἄρτι συλλογισμοὺς ἀποθρασύνῃ διδάσκειν αὐτός; ὃς τίς ποτε εἶ; καὶ μυρίων παρῳχηκότων ἀνδρῶν εὐσεβείᾳ καὶ σοφίᾳ καὶ ταῖς μεγίσταις τῶν θεοσημειῶν διαπρεψάντων ὡς οἴδαμεν, οὐδείς πω τὴν τοιαύτην λέξιν καὶ ἐπὶ τοῦ υἱοῦ προσθεῖναι ἀπηυθαδιάσατο, καὶ σὺ ἀπαναιδεύῃ πρὸς τὴν ἐγχείρησιν; μακάριος ἂν ἦς, εἰ μόνον ἐξείχου τῶν δεδιδαγμένων σοι παρ' αὐτῶν· νῦν δ' — οὐκ οἶδ' ὅθεν ὁρμώμενος — ἐθέλων παραγκωνίσαι καὶ ὑπερβαλεῖν τοὺς διδάξαντας ἀθλιότατος ἐμοὶ ἐναπέφηνας.*

14. *Ἀλλ' ἐπεὶ τὰ μεγάλα τῶν βάθρων σοι διεσείσαμεν, ἐν οἷς καὶ μᾶλλον ηὔχεις τὸ ἑδραῖον καὶ ὡς ἐδόκεις ἀσάλευτον, ἰδού σοι φέρω καὶ τὰ ἐμά, ἵν' εἰδείης εἰ ἐπὶ τῆς πέτρας*

---

8 Rom. 10, 18. **20** Act. 2, 3.

---

6 *ἐξαγγελείας* B **18** *ὁ* B

ἑδράζονται τοῦ Χριστοῦ, ὅπου τι παρασῦραι τὰ τῶν ποταμῶν οὐ δύνανται ῥεύματα λόγοις σοφιστευόντων ἐπὶ κενῆς. ἀλλὰ πρῶτον ἐρωτήσω σέ τι, καὶ ἀπόκριναί μοι πρὸς τὴν Phot. l. c. 341. *ἐρώτησιν· ἅμα τὸν υἱὸν γεγέννηκεν ὁ πατὴρ καὶ τὸ πνεῦμα ἐκπεπόρευκεν ἢ οὐχ ἅμα; οὐχ ἅμα μὲν οὐδείς πω τῶν εὐσεβεῖν βεβουλημένων ἐρεῖ· χρόνος γὰρ μεσολαβήσει περὶ τὰς ὑπάρξεις τῶν ἐκ πατρὸς καὶ τὸ πρῶτον οὐ διαφύγωσι καὶ τὸ δεύτερον καὶ τἆλλα ὅσα τοῖς οὐχ ἅμα οὐσιωμένοις ἀκολουθεῖ. καί πού τις τῶν θεολογησάντων εἰρήκει πρὸς τοὺς εἰς ἀρχὴν τιθεμένους αὐτά· ʻπότε ὁ υἱὸς γεγέννηται; ὅτε τὸ πνεῦμα ἐκπεπόρευταιʼ καὶ ἀνάπαλιν· ʻπότε τὸ πνεῦμα ἐκπεπόρευται; ὅτε ὁ υἱὸς γεγέννηταιʼ, οὐ διαστειλάμενος τῆς γεννήσεως τὴν ἐκπόρευσιν ἐν τῷ ἀτόμῳ τῆς οὐσιώσεως.* 201r | *λείπεται γοῦν ἅμα εἶναι τὴν γέννησιν ἐκ τοῦ πατρὸς καὶ* | ibd. 804. *ἐκπόρευσιν εἴτουν τὸ ἐξ αὐτοῦ γεννώμενον καὶ τὸ ἐκπορευόμενον. εἰ γοῦν ἅμα, πῶς διὰ θατέρου θάτερον; δεῖ γὰρ πρῶτον εἶναι τὸ μέσον, εἶτα φανῆναι τὸ δι' αὐτοῦ. εἰ δὲ χρόνου πόρρω τὰ ὑπὲρ χρόνον, οὕτω ταῦτά γε ὑπὲρ χρόνον, ὅτι ἅμα καὶ ὅτι μέσον οὐχ εὑρίσκεται πρὸς τὴν ὕπαρξιν.* ibd. 331. *τῷ γὰρ αἰτίῳ συννοοῦνται ἅμα τὰ ἐξ αὐτοῦ, τὰ δ' αἰτιατά, εἰ διὰ θατέρου θάτερον, ἀνάγκη πᾶσα καὶ πρῶτον οὐσιοῦσθαι καὶ δεύτερον. ἅμα γοῦν ἄμφω ἐκ τοῦ αὐτοῦ καὶ οὐ δι' ἑτέρου τὸ ἕτερον, ἵνα μὴ χρόνος ᾖ πρῶτον καὶ ὕστερον, ἢ διαφορὰ οὐσίας μεσολαβήσει ἐν τοῖς τρισίν.*

15. *Εἰ γοῦν οὐ πείθω σε τούτοις, ἀκροῶ πάλιν ἑτέρου. εἰ μέσος τοῦ πατρὸς καὶ τοῦ πνεύματος ὁ υἱός, ὥρισται ἄρα — ἅπαν γὰρ μέσον τοῖς ἄκροις ἐμπεριγράφεται — καὶ οὐ τόπῳ λέγω ἢ χρόνῳ ἢ δυνάμει ἢ ἐνεργείᾳ, ἃ τοῖς ὑπὸ φύσιν γνωρίζεται, ἀλλ' αὐτῇ γε δὴ τῇ οὐσίᾳ κἂν ἄπειρος εἴη ὑπὸ ἀπείρων περατουμένη. ὃ καὶ παράδοξον, ἂν περατῶται τὸ ἄπειρον· οὐ περατωθήσεται γὰρ ἐν ἄλλοις. οἷς δὲ ὁρίζεται, καὶ περιγράφεται· καὶ ἐφάνη θεὸς ἡμῖν τῇ οὐσίᾳ*

2 Matth. 7, 25.

2 *δύνονται* B 3 *ἀπόριναι* B 9 *τίς* B 32 *ἡμῖν* dubium; potius *ἂν*?

περιγραφόμενος, τὸ καινότατον, οὗ τί ἂν εἴη τὸ ἀτοπώτερον; ὑπόθες οὖν καὶ σὺ τὸ ἐμόν. ἄπειρον οὖν τὸ ἐξ οὗ καὶ ἄμφω, καὶ ἄπειρα ἄμφω, συναπειρούμενα τῇ ἀρχῇ ὡς συναπειρουμένου τοῖς αἰτιατοῖς τοῦ ἐξ οὗ ἢ τούτων αὐτῶν· οὐκ ἔσται γὰρ ὅρος ἐν ᾧ σταθήσονται. συγκινεῖται γὰρ ὁ πατὴρ τοῖς αὐτοῦ βλαστήμασιν [ὁ πατὴρ] εἰς ἀόριστον, καὶ ταῦτα συνανατρέχουσιν εἰς τὸ ἄπειρον, καὶ κατ' ἄμφω τυγχάνουσιν ἄπειρα· τὴν γὰρ ἀπειρίαν ἐν τοῖς ἄνω καὶ κάτω ὁ λόγος ἐγνώρισεν. εἰ δὲ καὶ τὰ παρ' ἑκάτερα διαπέφευγεν, ἀλλά γε δὴ καὶ ἐν τούτοις τοῖς ἄνω καὶ κάτω κεχαρακτήρισται. διὰ τοῦτο γὰρ τὸ θεῖον ἀνώλεθρον, ὅτι περ οὐκ ἐν τοῖς ἄνω φερόμενον ἵσταται οὔτε μὴν ἐν τοῖς κάτω τερματοῦται κενούμενον, κυκλικὴν οἷον ἢ σφαιρικὴν ἀκινήτως ἐκμιμούμενον κίνησιν, ὅπου τῷ τέλει συμπέφυκεν ἡ ἀρχὴ καὶ ἄδηλον τὸ ὅθεν καὶ τὸ ὅπου καὶ ὁ ὅρος καὶ ἡ τομή· συμφυᾶ γὰρ τὰ πάντα καὶ ὡς εἰς ἓν συνυφίσταται.

16. *Βούλει καὶ ἑτέρου λόγου γενέσθαι σε ἀκροάμονα· εἰ καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα, ταὐτὸν δὲ εἰπεῖν οὐσιοῦται, ἢ εἰς ἓν συνῆλθον τὰ πρόσωπα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ ἄμφω εἰργάσαντο τὴν ἐκπόρευσιν — καὶ πόσα γε ἐν τούτοις τὰ ἄτοπα! — ἢ κρεῖττόν γε εἰπεῖν ἀσεβὴς σύγχυσις ἢ συστολὴ προσώπων εἰς ἓν καὶ ἀρχὴ οὕτως εἰπεῖν σύγκριμα θεῖον ἐσύστερον λαβὸν τὴν διάκρισιν, ἢ καὶ ἐξ ἀμφοῖν τοῖν προσώποιν οὐσίωται φυλλαττομένης ἀσυγχύτου τῆς διαιρέσεως. καὶ ἰδοὺ τὸ πρῶτον καὶ ὕστερον καὶ τὸ ἀτελὲς καὶ τὸ τέλειον· καὶ αὖθις ὡς ἐξ ἀρχῆς ὁ πατὴρ καὶ ὁ υἱὸς ἢ ἓν πρόσωπον πρώτως ἦν καὶ τὸ πνεῦμα ὡς ἐξ ἑνὸς τὴν ὕπαρξιν εἴληφε καὶ οὕτω δὴ ἐσύστερον τὰ πρόσωπα διεστάλησαν, ἢ δύο ὄντα εἰς ἓν συνέσταλται, ἵν' ἐξ ἀμφοῖν τὸ πνεῦμα ἐκπορευθῇ, συναλοιφέντοιν τοῖν δυοῖν εἰς ἑνὸς ὁμοουσίου τελείωσιν. ἀνέξεται ταῦτά τις εὐσεβής, τριάδα ὁμολογῶν ἄναρχον ἄχρονον ὁμοούσιον ὁμοδύναμον καὶ μηδὲ ἓν θέλων καταβάλλειν ἐκ τῶν τριῶν; τὸν πατέρα ἐν τούτοις τιμᾷς ἢ τὸ πνεῦμα ἢ τὸν υἱόν; | οὐκ οἶδα τίνος ταῦτα τιμή,* | 201ᵛ
πολλῶν ἀκολουθούντων ἀτόπων οἷς καὶ τὸ δυσσεβὲς συνεφέπεται.

---

7 [ὁ πατὴρ] delend. **23** λαβὼν B

17. *Εἰ δὲ προστίθης μοι πάλιν ῥῆσιν ἐκείνην τὴν τοῦ Χριστοῦ τὴν ‘ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν’ φάσκουσαν, καὶ ὡς ἐξ ἑνὸς ἀμφοῖν τὸ πνεῦμα προβάλλεις, θαυμάζω σε τῆς ἀγχινοίας καὶ τῆς περὶ τὰ θεῖα τῶν λογίων ἀκριβοῦς ἐπιστήμης καὶ ἀναπτύξεως. τί γάρ φησιν ὁ Χριστός; ἆρ’ ἐγὼ καὶ ὁ πατὴρ πρόσωπόν ἐσμεν ἕν; ἢ ἄτομον; ἢ ὑπόστασις; ἤ τι τῶν πάντῃ ἀδιαιρέτων; καὶ μήν, πῶς πατὴρ καὶ πῶς υἱός, εἰ ἄμφω ἕν; ἀλλ’ εἴπερ καὶ ἓν οὕτως, εἷς ἐχρῆν ἐρεῖν, καὶ οὕτως ἂν συνήπτοντο τὰ πρόσωπα εἰς τὸ ἕν· ἀλλ’ ἓν εἰρηκὼς τὴν κατ’ οὐσίαν ἐνέφηνεν ἕνωσιν καὶ τὴν κατὰ φύσιν ἀδιάτμητον συναφήν, καθ’ ἣν αὐτοῖς καὶ τὸ πνεῦμα συνάπτεται καὶ ἓν τὰ τρία τυγχάνουσιν. τί γάρ; οὐχὶ κατὰ τοῦτον τὸν λόγον καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα ἓν καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα ἕν; καὶ ὁπότερα ἂν λάβῃς τῶν τριῶν ἀποτεμόμενος, οὐχ ἓν ἐρεῖς, κἂν δύο προφέρῃς, κατὰ τὴν οὐσίαν, κατὰ τὴν φύσιν, κατὰ τὴν δύναμίν τε καὶ τὴν ἐνέργειαν καὶ τὴν εἰς ἅπαντα συμφωνίαν καὶ σύμπνοιαν; ἀλλὰ τὸ ἓν αὐτὸ οὐχ οὕτως καθέστηκεν ἕν, ὡς πάντῃ ἓν εἶναι καὶ ἀδιαίρετον, ἀλλὰ τοῖς ἰδιώμασι τέμνεται καὶ τοῖς χαρακτῆρσι διαστολὴν δέχεται. καὶ εἰσὶν ἓν καὶ τὸ δύο οὐκ ἀπηρνήσαντο, καὶ ἀριθμοῦνται δυάδι ἢ καὶ τριάδι, καὶ ἓν ὡς ὄντως γνωρίζονται. μὴ γοῦν λάβῃς τὸ ἓν ἐν δυοῖν ὥσπερ* Phot. l. c. 289. *ἄτομον εἴτουν πρόσωπον καὶ συνάψῃς ταῦτα καὶ σύγχυσιν ἐργάσῃ Σαβέλλειον, ταύτῃ μηδὲ τὴν διαίρεσιν ὡς ἀξυμφυῆ· Ἀρείου γὰρ ἡ βλασφημία ἢ μᾶλλον εἰπεῖν τοῦ τὰ τοιαῦτα ἐπισπείροντος ταῖς τῶν ἀνθρώπων διανοίαις σατάν.*

18. *Ὁ γοῦν ἐκ δυοῖν ὡς ἐξ ἑνός — ἀναληπτέον γὰρ τὸ ἑξῆς τοῦ λόγου — ἢ ἐξ ἑνὸς ὡς ἐκ δυοῖν, ἐκ δυοῖν πάντως ἐστίν, εἰ μήπως ἀναιρεῖς πρὸ τριάδος δυάδα, ἧς ἄνευ οὐκ ἂν τριὰς οὔτ’ ἂν εἴη οὔτε λεχθείη. πῶς γὰρ ἐξ ἑνὸς προσώπου τὸ ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορευόμενον πνεῦμα ἢ ἀτόμου ἢ ὑποστάσεως; ‘ἀλλ’ ἐκ δυοῖν ἑνὸς κατὰ φύσιν τελούντων’ πάνυ γε, ἐκ δυοῖν γὰρ εἰπὼν ἀπήλλαξας φροντίδων ἡμᾶς· δύο γάρ εἰσιν ὁ πατὴρ καὶ ὁ υἱός, ὥσπερ τριάς τε τούτοις συναριθμεῖται καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἀλλὰ καὶ ἓν τὰ δύο*

---

2 Ev. Io. 10, 30.

καὶ τὰ τρία ἓν κατὰ λόγους οὕσπερ εἰρήκαμεν. ὁ γοῦν ἐκ δυοῖν, οὐκ ἐξ ἑνὸς προσώπου ἢ μιᾶς ὑποστάσεως, ἀλλ᾽ ἐκ δυοῖν ἀληθῶς.

19. Ἃ γοῦν ἔφημεν ἄτοπα ἕπεσθαι τοῖς ἐκ δύο φάσκουσιν ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, ταῦτα ἂν καὶ ἐπὶ τουτοισὶν ἕψοιτο· καὶ οὐκ ἀρκέσει τοῖς λέγουσιν 'ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν' εἰς τὸ ὡς ἐξ ἑνὸς αὐτὸ προβάλλειν, εἰ μὴ τὴν συναλοιφὴν ἢ τὴν σύγχυσιν καταδέξαιντο. ἀλλ᾽ ἐκεῖθεν πάλιν 'ὅσα ἂν ἔχῃ' φησὶν 'ὁ πατήρ, ἔχει αὐτὰ καὶ ὁ υἱός'· ταῦτα δὲ καὶ τὸ πνεῦμα ἔσχηκεν οὑτωσί. οὐ γὰρ τὰ ἀπομεμερισμένα ταῖς ὑποστάσεσίν φησιν ὁ Χριστός, ἀλλὰ τὰ κοινὰ καὶ τὰ συνόντα τούτοις ὁμοτίμως καὶ συμφυῶς· ἐπεί τοί γε πῶς οὐκ ἄναρχος ἢ ἀναίτιος ὁ υἱός, ἐπείπερ ἐστὶν ὁ πατήρ; πῶς οὐκ ἀγέννητος, ὅτιπερ ὁ πατήρ; πῶς οὐ πατήρ, ἐπεὶ ὁ πατήρ; ἀλλὰ ταῦτα μὲν ἔκδηλα καὶ τοῖς μικρὸν ἐπαΐειν τῶν ἱερῶν λογίων ἐθέλουσι | καὶ καθ᾽ οὓς ἂν λόγους εἴρηνται | 202r γνώριμα. ὑπὲρ ὧν καὶ τεθαύμακα πάνυ τοὺς ταῦτα προβάλλοντας πρὸς τὴν τῆς δόξης τούτων παράστασιν, οὓς οὐ τοσοῦτον εἰδέναι τὰ τῶν θείων λογίων διαμαρτυραίμην, ὅσον μηδὲ κατά τι ἀπισχυρίσαιμι, εἴπερ μὴ οὐχ ἑκοντὶ ταῖς τῶν ῥητῶν διανοίαις ἐφαμαρτάνουσιν· οὓς εἰ μὲν τὸ πρῶτον, ἀθλιωτάτους λογίζομαι, ἐπεὶ προϋποτιθέντες ἀσάλευτα διὰ στερρῶν ὡς δοκεῖ τούτοις τῶν τοῦ Χριστοῦ ῥημάτων ἑδράζειν ταῦτα προήρηνται καὶ ἐπὶ τῇ πέτρᾳ διὰ ταῦτα προσκρούουσι, ἐφ᾽ ᾗ καὶ ῥαγήσονται καὶ συντριβήσονται σφίσι τὰ διαβούλια· εἰ δὲ τὸ δεύτερον, οὐ τοσοῦτον κακίσαιμι, ἀλλ᾽ ἐς διδασκάλων φοιτῆσαι σφᾶς αὐτοὺς συμβουλεύσαιμι, ἐξ ὧν τὰ τῶν ἀποδείξεων ἀναγκαῖα μαθήσονται καὶ οὐ πρὸς τὴν ἐπιστήμην διατεθήσονται πλημμελῶς. ταύτας γὰρ τὰς φωνάς, ἃς ὁ Χριστὸς εἰρήκει περὶ ἑαυτοῦ καὶ τοῦ πατρός, ὀλίγων χωρὶς εἰ ὑπόθοιτό τις καὶ τὸ πνεῦμα κατιὸν ἐν ἡμῖν εἰπεῖν, ἆρ᾽ εἶχε διὰ ταῦτα καὶ ἐξ αὐτοῦ γεννᾶσθαι ἐρεῖν τὸν υἱόν, οἷον τὸ 'ἐγὼ καὶ ὁ προβολεὺς ἕν ἐσμέν', καὶ 'ὅσα ἂν ἔχῃ οὗτος, ἔχω δὴ καὶ αὐτός', καὶ 'ὁ ἑωρακὼς ἐμὲ ἐκεῖνον ἑώρακε', καὶ ὅσα τοιαῦτα.

---

9 Ev. Io. 16, 15.

---

24 προείρηνται B

ἀλλὰ ταῦτα μὲν τὸ κατὰ πάντα ταὐτὸν τῆς οὐσίας ἐμφαίνοντα καὶ τῷ πνεύματι πάντα ἁρμόσειε, οὐ μὴν διὰ ταῦτα τῆς ἰδιότητος αὐτοῦ ἀποπέσειεν ἄν.

20. *Ἀλλὰ πάλιν θροεῖ σε τὸ ὑπό τινων εἰρημένον ὡς εἰκὼν μὲν πατρὸς ὁ υἱός, υἱοῦ δὲ τὸ πνεῦμα τὸ ἅγιον, κἀντεῦθεν ἀναγκάζῃ καὶ ἐκ τοῦ υἱοῦ λέγειν αὐτὸ ἐκπορεύεσθαι. ἐβουλόμην μὲν τουτοῒ καὶ αὐτός, εἰ τὸ ἀναγκαῖον ἐκ τῶν λόγων ἐφαίνετο· ἀλλὰ νῦν οὐκέτι ἀνάγκη. σκόπει γάρ· εἰ εἰκὼν ὁ υἱὸς τοῦ πατρός, ὅτι υἱός, εἰκὼν δὲ τὸ πνεῦμα τοῦ υἱοῦ,* (Phot. l. c. 340 B) *οὐκ ἄλλου του ἔσται χάριν ἢ ὅτι υἱός. τῆς ἀτοπίας! ὁρᾷς ὅπῃ τὰ τῶν λόγων προέβη; εἰ δὲ καὶ αὖθις διισχυρίζῃ, ὡς ὁ υἱὸς εἰκὼν τοῦ πατρός, ὅτιπερ ἐξ αὐτοῦ, κατὰ τοῦτο δὴ καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα, ἐπείπερ εἰκὼν αὐτοῦ καὶ ἔστι καὶ λέγεται, ἀπήλλαξας φροντίδος ἡμᾶς τὸ τοιοῦτον εἰπών. ἀλλ' οἶσθα ὡς τὸ ἐξ αὐτοῦ διάφορον ἐν ἀμφοῖν καὶ κατὰ τὰς σὰς ὑποθέσεις; ἐκεῖ μὲν γὰρ ἐξ αὐτοῦ, ἀλλὰ γεννητῶς, ἐνταῦθα δὲ ἐξ αὐτοῦ, ἀλλ' ἐκπορευτῶς. πῶς οὖν ἡ ταυτότης τῆς εἰκόνος ἐν διαφόροις φυλαχθήσεται ἰδιώμασι; μήποτε ἄρα οὐ κατὰ τοὺς τοιούτους λόγους αἱ εἰκόνες παραλαμβάνονται τοῖς γράφουσι τὰ θειότερα, ἀλλ' ἔστιν ἄλλο τι διὸ τὰ τοιαῦτα καὶ λέλεκται. εἰκὼν μὲν γὰρ εἴη ὁ υἱὸς τοῦ πατρὸς φυσικὴ ὡς ὁμοούσιος καὶ ὁμοεργὴς δύναμις, τοὺς πατρικοὺς χαρακτῆρας παραθεὶς ἡμῖν ἐξ ἑαυτοῦ, ἐν οἷς σάρκα προσειληφὼς προσωμίλησε, καθὼς καὶ οὗτος τὰ θεῖα ἐν ὑστέροις διατιθέμενος εἰρήκει πρὸς Φίλιππον· ‛ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα’. εἰ κατὰ τοιούτους λόγους καὶ τὴν εἰκόνα λάβῃς τοῦ πνεύματος, εὑρήσεις πάντῃ συνᾴδουσαν. ἐπεὶ γὰρ μετὰ τὴν ἐνθένδε τοῦ υἱοῦ ἀναχώρησιν ἢ εἰς τὸ πρῶτον ἀποκατάστασιν, ἐξ ἧς ἀδιαστάτως κεκένωται, ὁ παράκλητος κατελήλυθε, τῆς αὐτῆς ὢν οὐσίας καὶ ἐνεργείας καὶ δυνάμεως ὧν ὁ υἱός, μὴ ἀντίφθογγα διδάσκων υἱοῦ ὡς οὐδὲ ὁ υἱὸς τοῦ πατρός, ἀπαράλλακτος εἰκὼν ἑαυτοῦ ἀναπέφανται, ἐν ἑαυτῷ παραδείξας τὰ τοῦ υἱοῦ καθὼς ἐκεῖνος τὰ τοῦ πατρός.*

---

25 Io. 14, 9.

---

10 *τοῦ* B 14 *φροντίδι* B

21. *Βούλει προσθήσω καὶ ὅτι γε ἐξ αὐτοῦ, πάντα σοι χαριζόμενος διὰ τὸ φιλάδελφον; ἀλλὰ καὶ τοῦτο τολμηρὸν ὑπείληπται τοῖς ἀκριβέστερον | ἐπὶ θεολογίᾳ φιλοσοφήσασιν,* | 202v *ἔμφασιν παρέχον τῆς ἐκπορεύσεως, ἐπεὶ χωρίς γε ταύτης λεκτέον. καὶ ἔστω εἰκὼν τοῦ πατρὸς ὁ υἱός, ὅτιπερ ἐξ αὐτοῦ, καὶ τὸν τρόπον γινώσκεις τοῦ ἐξ αὐτοῦ· ἀλλὰ δὴ καὶ τὸ πνεῦμα εἰκὼν λέγεται τοῦ υἱοῦ, ὅτιπερ ἐξ αὐτοῦ.* Basil. c. Eun. 5. Greg. Naz. or. 2. Athan. ad Serap. *ὁ τρόπος δὲ οὐ ταὐτός· τίς γὰρ ἂν τολμήσειεν εἰπεῖν γεννητῶς; λείπεται οὖν ἐρεῖν τὸ διάφορον καὶ ὅτι γε μάλιστα ἄμαχον. ἔγωγε καὶ προὐπεκρουσάμην ἡνίκα προΐεσθαι ἐξ υἱοῦ τὸ πνεῦμα ἔλεγον καὶ χορηγεῖσθαι καὶ δίδοσθαι.* Nic. Blem. l. c. II 7. *ταῦτα δέ μοι καὶ αὐτὸς συμφῄς. τίνα γοῦν ἕτερον τρόπον τῆς εἰκόνος ζητεῖς, εἴπερ ἔχεις καὶ σὺν τοῖς λελεγμένοις τὸ ἐξ αὐτοῦ, τὴν ἐκπόρευσιν μόνον παρασιωπῶν, ὡς μήθ' ἡμῖν μήτε τοῖς πρὸ ἡμῶν ἐπὶ υἱοῦ λεχθεῖσάν ποτε; ἰδού σοι καὶ τὸ τῆς εἰκόνος ἀμφίβολον λέλυκα, κατὰ πάνθ' ὁμοίως τοὺς λόγους σοι παραθέμενος. τὰ τοιαῦτα κρατῶν, μᾶλλον δὲ τὰ τοιαῦτα τῶν νοημάτων φρονῶν οὔποτε σφαλῇ τοῦ ὀρθοῦ, πᾶσαν ῥαδίως ἀποβαλεῖ τοῦ νοός σου διχόνοιαν.*

22. *Ἐμνήσθην καὶ ἄλλου λόγου τῶν ἀντιλεγόντων ἡμῖν, οὐχ ἥκιστα τῇ ἀληθείᾳ καὶ τῷ ὀρθῷ κανόνι τῆς πίστεως. τοῖς γὰρ ἡμετέροις λόγοις ἀδύνατόν τι ἀκολουθοῦν ἀποδεῖξαι πειρώμενοι εἰς τοιαύτην προβαίνουσι τὴν ἐρώτησιν· 'εἰ μὴ καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον — τοῦτον γὰρ τὸν τρόπον συμφυὴς καθέστηκεν ἡ τρίας, ἀλληλουχουμένη ταῖς ὑποστάσεσιν, ὡς τοῦ μὲν υἱοῦ ἐκ πατρός, τοῦ δὲ πνεύματος ἐξ υἱοῦ τυγχάνοντος — ποίῳ λόγῳ ἢ τρόπῳ ὁ υἱὸς τῷ πνεύματι συναφθήσεται; τῷ μὲν γὰρ πατρὶ ἄμφω καὶ οὑτωσὶ ἑνωθήσεται, ἐπεί τοι γε ἐξ αὐτοῦ, ἀλλήλοις δὲ ὅπως συνάψεται; καὶ ποῦ ἡ ἄκρα τῆς τριάδος ἕνωσις, ἡ ἄτμητος ὡς ἄν τις εἴπῃ τομὴ καὶ ὁ ἀμέριστος μερισμός;' ὦ ταῦτα λέγων ῥαδίως καὶ τοιαύτας ἀπερευγόμενος τὰς φωνάς, σὺ τάχ' ἂν καὶ διαιρέσεις ἡμᾶς ἐπὶ τῆς ὑπερουσίου τριάδος ὑπολαμβάνεις ποιεῖν, οἵας οἱ διαλεγόμενοι ἀπὸ γενῶν εἰς*

---

4 *παρέχων* B 11 *ἔλεγεν* B 20 incipit Cod. Vallicell. C IV, quem signavi C. in marg. *ἐκ τοῦ β' αὐτοῦ λόγου.* 25 *ἡ τριάς* om. B 30 *ὅπως*] *πῶς?* 34 *λαμβάνεις* B

εἴδη ἢ ἀπὸ εἰδῶν εἰς ἄτομα ἢ ὁπωσοῦν ἑτέρως ἐργάζονται, καὶ ἐναντία ταῦτα τιθέναι διισχυρίσῃ ἢ καὶ τόπῳ περιγράφειν τὰ ἀπερίγραπτα ἢ ἔν τινι συνάγειν τὰ ἀπεριόριστα; οὐ τοιαῦτα φρονοῦμεν οὐδὲ δογματίζομεν ἄτοπα, οὐχ οὕτως ἡμεῖς ἄφρονές τε καὶ ἀμαθεῖς, ὡς μὴ εἰδέναι πάσης οὐσίας καὶ φύσεως σχήματός τε καὶ τόπου καὶ χρόνου καὶ μέτρου καὶ γνώσεως τὴν μακαρίαν ὑπερκειμένην τριάδα τὴν ἄναρχόν τε καὶ ἀτελεύτητον, ὡς ἐν τούτοις καταγελᾶν, κἄντε τῶν ἡμετέρων τις εἴη κἄντε τῶν ἐναντίων τῶν ἐν σχήμασιν ἀριθμῶν ἢ ἐπιπέδων ἢ στερεῶν παραλληλίζειν βουλομένων τὰ ἀσχημάτιστα. εἰ δ' ἐξ ἑνὸς ταῦτά φαμεν ἤγουν ἐκ τοῦ πατρὸς καὶ τὸ πνεῦμα ὡς ἐξ αἰτίου αἰτιατά, ὧν τὸ μὲν πνεῦμα ἐκ πατρὸς ἐκπορευόμενον, ταὐτὸν δὲ εἰπεῖν οὐσιούμενον, τέλεον σὺν υἱῷ ἐν υἱῷ μένει, ὡς μὴ ἄμοιρον εἶναί ποτε τὸν υἱὸν τοῦ πνεύματος κἀντεῦθεν δίδοσθαι καὶ χορηγεῖσθαι καὶ ὅσα ἀσφαλῆ τῶν τοιούτων, τί φάσκομεν ἄτοπον; ποία δὲ προστρίβεται τῇ τριάδι ἐκ τῶν λόγων ἀδικία τῶν ἡμετέρων ἢ ἐφέπεται ἀτιμία, τὰ τρία ὁμοούσια τιθεμένων καὶ ὁμοδύναμα ὡς ἐκ τούτων φυλάττεσθαι καὶ τὴν ἕνωσιν, εἴ γέ φαμεν ἐν υἱῷ λαμβάνειν τὸ πνεῦμα τὴν οἰκείαν οὐσίωσιν ἐκ πατρός, σώζεσθαι δὲ καὶ πάσας φωνάς, τὰς κυριακάς φημι καὶ τὰς πατρικάς, καὶ μὴ τὸ οἱονοῦν παραβλάπτεσθαι, ὡς ἐκ τῶν ὑμετέρων λόγων τὸ ἀτελὲς συνεισφέρεται καὶ τὸ πρῶτον καὶ ὕστερον καὶ διορισμὸς καὶ περιγραφὴ καὶ μερισ-
203 r | *μὸς τοῖς σκοποῦσι καλῶς; | οὐκέτι οὐδ' ὅλως τοῖς ἡμετέροις ἐπισυμβέβηκεν ἄτοπον ἢ ξένον τῶν διδαγμάτων Χριστοῦ καὶ τῶν ὀρθῶν δογμάτων ἀλλότριον, οἷς πᾶς ἑδραζόμενος ὡς ἐπὶ στερρᾶς βέβηκε πέτρας, ἐφ' ᾗ καὶ Χριστὸς τὴν ἐκκλησίαν ἐπήξατο, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσι πώποτε, βλάσφημα στόματα καὶ μηδὲν εἰδότα ἢ λόγους ἀπερυγγάνειν σαθρούς.*

23. *Διὰ πνεύματος ἄλλοι φησὶν ἐργάζεσθαι τὸν υἱὸν ἢ ἐν πνεύματι· εἰ τῶν εἰρημένων ἐξέχῃ μοι ἐννοιῶν, οὐδέν σοι ἄπορον τῶν λογίων φανήσεται, καὶ τὸ ἐν δακτύλῳ θεοῦ*

---

2 *διισχυρίζῃ?* **10** *ἀριθμεῖν* B *ἐπὶ πέδων* B **25** *ταῖς ἡμετέραις* BC *ταῖς ἡμετέραις* <*ἐννοίας*>? **34** *τῶ* C

ἐκβάλλειν τὰ δαιμόνια, ἐπεὶ βραχίων ὠνόμασται, καλῶς σοι γνωσθήσεται, καὶ ἡ τοῦ ζῶντος ὕδατος δόσις παρὰ υἱοῦ Io. Chrys. in ps. 93. εὐχερῶς νοηθήσεται, καὶ πάντα τὰ τοιαῦτα τῶν λόγων ἀκριβῶς σοι καταληφθήσεται. θέλεις προβαλοῦμαί σοι καὶ αὐτὸς μικράν τινα τὴν ἐρώτησιν, ἐκ τῶν σῶν ὑποθέσεων προσειληφὼς καὶ τὰς ἀφορμάς; φῂς πάντως ἐκ τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι; ‛πάνυ γε.' φῂς δὲ τοῦτο καὶ ἐκ τοῦ υἱοῦ; ‛μάλιστα.' αἴτιος δὲ ὁ πατήρ, αἰτιατὸς δὲ ὁ υἱός; ‛ναὶ πάντως.' οὐκοῦν ἐξ αἰτίου καὶ αἰτιατοῦ αἰτιατὸν τὸ πνεῦμα καθέστηκε; ‛καὶ τοῦτο πάντως.' ἐκ προτέρου γοῦν καὶ ὑστέρου; εἰ δὲ ταῖς τοιαύταις ἀσχάλλῃ φωναῖς, ἐπεὶ μὴ εἴη πρότερον καὶ ὕστερον ἐν τριάδι ὡς χρόνον τῶν ὀνομάτων ὑπεμφαινόντων, ἀλλ' οὖν παραδέξῃ τὸ αἴτιον καὶ αἰτιατὸν καὶ τὸ ἄμεσον καὶ τὸ ἔμμεσον; ‛οὐχ ἥκιστά γε.' εἰ γοῦν ταῦτα ὑποθέσεις σαὶ καθεστήκασι καὶ ὁμολογεῖς καὶ οὐκ ἀμφιβάλλῃ καθάπαξ, πρόσχες τοῖς ἑπομένοις. οὐκ ἔστι Phot. διάφορος λόγος ἐξ αἰτίου λέγειν καὶ ἐξ αἰτιατοῦ, ἅτερος δὲ l. c. 321 C ἐξ ἀμέσου καὶ ἐξ ἐμμέσου; πάντως γε ἄλλος, καὶ τοσοῦτον ἄλλος, ὅσον καὶ ὁ πατὴρ ἄλλος καὶ ὁ υἱὸς ἄλλος, κἂν οὐκ ἄλλο καὶ ἄλλο. τοῦτο γοῦν ἡμεῖς τὸ ἐξ αἰτίου καὶ ἐξ ἀμέσου καὶ ἐκ πρώτου, ταὐτὸ δὲ εἰπεῖν ἐκ πατρὸς ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον λέγομεν, τῷ πρώτῳ αἰτίῳ, τῷ μὴ αἰτιατῷ, τῷ ἀμέσῳ τὴν τοιαύτην ἀνατιθέντες φωνήν, ἣν καὶ ὁ κύριος εἴρηκεν. τῷ δὲ δευτέρῳ καὶ αἰτιατῷ καὶ ἐμμέσῳ, ταὐτὸ δ' εἰπεῖν τῷ υἱῷ οὐ διδόαμεν ταύτην, ἵνα τὴν διαφορὰν τῶν προσώπων καὶ τῶν ἐν αὐτοῖς παραστήσωμεν ἰδιωμάτων, ἀλλὰ τὰς ἄλλας φωνάς, ἵνα τὸ ἕτερον ἀποδείξωμεν. ὁρᾷς ὅπως καὶ κατὰ τὰς σὰς ὑποθέσεις ἐπὶ τοῦ υἱοῦ ἡ ἐκπόρευσις βλαβερὰ κἀκ τῶν σῶν περισκελίζῃ προτάσεων, τὸ δὲ ἐμὸν οὐδέν τι τῶν κειμένων λυμαίνεται. εἰ δὲ βιάζῃ ὡς ἐξ ἑνὸς τῶν δύο τὸ πνεῦμα προβάλλει, συναλοιφὴν εἰσάγεις τῶν προσώπων συστολήν τε καὶ σύγχυσιν — ποῦ δὲ τοιοῦτον ἐν τοῖς ἐμοῖς; — ὥστε καὶ τὸ σὸν

---

1 Luc. 11, 20. 2 Io. 4, 10 sq.

---

2 καὶ εἰ ἡ B

φυλάττεσθαι δόγμα τὸ ἐξ υἱοῦ τὸ πνεῦμα καὶ τὸ ἡμέτερον μὴ σαλεύεσθαι, λέγω δὴ τὸ μὴ ἐξ αὐτοῦ ἐκπορεύεσθαι, ἤγουν λαμβάνειν τοῦτο τὴν ὕπαρξιν ἅμα τῷ υἱῷ συνουσιωμένον ἐκ τοῦ πατρός.

24. Τούτου χάριν οὐδ᾽ εἰς πλάτος εἴληφεν ἡ ἡμετέρα ἐκκλησία ἐξ υἱοῦ ὁπωσοῦν λέγειν τὸ πνεῦμα τὸ ἅγιον, ἀλλά γε δὴ δι᾽ υἱοῦ· τοῦτο γὰρ τὸ ἔμμεσον παριστᾷ καὶ τὴν σχέσιν, ἣν ἔσχηκε πρὸς αὐτὸν εἰς οἰκείαν ἔκφανσιν. οὐ γὰρ ἂν ἄλλως ἐκφανήσεται τὸ πνεῦμα τὸ ἅγιον εἰ μὴ ἄρα γε δι᾽ υἱοῦ. πρώτως γὰρ ἐκ πατρὸς τελείαν ἐσχηκὸς ὕπαρξιν οὐ σὺν ἄλλῳ τῳ οὐδ᾽ ἐν ἄλλῳ τῳ ἀλλ᾽ ὡς σὺν υἱῷ τε καὶ ἐν υἱῷ, ἐκεῖθεν αὖθις ἀνέφανεν. ἐκεῖνο μὲν οὖν ὀνομαστέον ἐκπόρευσιν, τοῦτο δ᾽ ἔκφανσιν. τὸ μὲν γὰρ ἐξ οὐρανοῦ κατιέναι τὸ πνεῦμα εἰς Ἰησοῦν βαπτιζόμενον πολλὴν παρίστησι τοῦ νοήματος τὴν ἐνέργειαν. φυλάττομεν δὲ οὕτω [203r] λέγοντες | καὶ τὴν φύσιν ἀσύγχυτον καὶ τὴν τάξιν εὐτύπωτον καὶ τὸν τοῦ κυρίου λόγον ἀμεταποίητον, καὶ τοῖς ὑμετέροις νοήμασι συνερχόμεθα.

[Phot. l. c. 352.] 25. Εἰ γοῦν ἐπί τισι τῶν θεολογησάντων ἐν Ἰταλοῖς εὑρίσκεται καὶ ἐπὶ τοῦ υἱοῦ τοῦ πνεύματος ἡ ἐκπόρευσις, οὕτω διαλυτέον τὸ πρόσκομμα, ὡς διὰ τὴν εἰρημένην ἔννοιαν καταχρηστικωτέρως οὗτοι ἐχρήσαντο τῇ φωνῇ, ἐπείπερ εἰ ἤρετό τις αὐτοὺς τὰ προλελεγμένα, εὐχερέστατα ἂν συνέφησαν καὶ αὐτοί. καὶ ἄλλος δέ τις ἢ καὶ αὐτῶν τῶν ἡμετέρων θεολόγων εἰ οὕτως εἰρήκει, οὐκ ἂν ἔχῃ ἑτέραν ἀπολογίαν. οἶμαι δὲ καὶ ἄλλως τοῦτο συμβῆναι. ἐπεὶ γὰρ οἱ ἡμέτεροι θεολόγοι, ἐξ ὧν οἱ πάντες ἠρύσαντο, τὰς τοῦ ἐκφαίνεσθαι καὶ χορηγεῖσθαι, ἔτι δὲ καὶ προΐεσθαι φωνὰς ἐν τοῖς σφετέροις συγγράμμασιν ἔθεντο, ἐν τῇ μεταγλωττήσει οἱ μετα- [ibd. 393.] βαλόντες, μὴ ἀκριβῶς συνιέντες τῶν λέξεων πρὸς τὸ ἐκπορεύεσθαι τὸ διάφορον, ἀπερισκέπτως τῇ τοιαύτῃ φωνῇ ἐμπεπτώκασιν· ὅθεν ἀφορμὴν λαβόντες οἱ θεολογοῦντες ἐν Ἰταλοῖς ἐχρήσαντο καὶ αὐτοί, οἷς καὶ συγγνώμη οὐκ ἀκριβολογουμένοις τῷ τότε τὰ τῶν φωνῶν. μαρτυρήσει μοι τοῖς λεγομένοις ὁ Κύριλλος. Ἀλεξανδρείας δὲ ἦν οὗτος καὶ τὰ

---

3 συνουσιώμενον B 16 ἀσύγχυστον BC.

[Cyrill. (Par. 76 c. 1189)] θεῖα πολὺς καὶ ἄκρος τὴν ἐν τοῖς δόγμασι θεωρίαν καὶ ἐπιστήμην τοῦ πνεύματος. εἰρηκὼς γὰρ ἔν τινι τῶν αὐτοῦ συγγραμμάτων ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμα, καὶ ἐπιλαβομένου τοῦ ῥητοῦ Κύρου Θεοδωρήτου — σοφὸς δὲ ἦν οὗτος τὰ θεῖα — μήποτε ὡς ἐκπορευομένου τοῦ υἱοῦ τοῦ πνεύ- [Theod. Cyr. IV 718] ματος ὠνόμασεν αὐτὸ ἴδιον, οὐκ ἀντελάβετο τῆς φωνῆς καὶ συγκατέθετο τῷ ῥητῷ ὡς τούτου χάριν γε ἀπεφήνατο, ἀλλ' ἑτέραν αἰτίαν ἐπήγαγεν, ὡς ὁμοούσιον αὐτῷ καὶ ὁμοδύναμον [Cyrill. resp. (Allat. syn. Eph. 26)] καὶ ἀεὶ τούτῳ συνομαρτοῦν καὶ παρὰ τούτου διδόμενον ἐκάλεσεν ἴδιον. ταύτης τῆς μαρτυρίας ἔχει τις εἰπεῖν ἐναργέστερον γνώρισμα; ὡς ξένον γοῦν τὸ νόημα τῆς ἐκκλησίας Χριστοῦ καὶ τῷ θείῳ Κυρίλλῳ λελόγιστο, ὃν τὰ πρῶτα καὶ μάλιστα ἐν θεολογίᾳ γινώσκομεν.

26. Οἴδαμεν οὖν ὡς καί τισι τῶν θεηγόρων ἀνδρῶν τὰ [Phot. l. c. 337.] οὕτως ἐν τοῖς θείοις λογίοις λεγόμενα οὐκ εἰς αὐτὸ τὸ πνεῦμα ἔδοξεν ἀναφέρεσθαι, ἀλλ' εἰς χαρίσματα τοῦ πνεύματος· λέγεται γὰρ καὶ πνεῦμα τὸ πνευματικὸν χάρισμα καθὼς τὸ πνεῦμα τὸ κύριον. ὡς γοῦν ὁ πατὴρ χαρίσματα δίδωσι τὰ τοῦ πνεύματος ἐν οἷς ἂν βούλοιτο καὶ αὐτὸ δὴ τὸ πνεῦμα αὐτοδέσποτον ὂν καὶ αὐτεξούσιον τὰ αὐτοῦ οἷς ἂν ἐθέλῃ, οὕτως ἀμέλει καὶ ὁ υἱὸς τὰ τοῦ πνεύματος δίδωσιν οἷς ἂν ἐπινεύσῃ διὰ τὴν ἀλλήλων συμφυίαν καὶ σύμπνοιαν. οὕτω μὲν οὖν ἐνομίσθη ἐνίοις καθὼς εἰρήκειν. ἀλλ' ἔγωγε καὶ αὐτὸ τὸ πνεῦμα δίδοσθαι οὐκ ἀπισχυρίζομαι παρ' υἱοῦ. ἔχει γὰρ ἐν ἑαυτῷ ὅλον οὐχ ὡς αὐτὸ οὐσιῶν, ἀλλ' ὡς οὐσιωμένον παρὰ τοῦ πατρὸς ἐν ἑαυτῷ προσδεχόμενος τέλειον, ὅπερ φαμὲν παρὰ τοῦ πατρὸς ἐκπορευόμενον διαμένειν ἐν τῷ υἱῷ κἀκεῖθεν ἵεσθαι· ταύτην δὲ τὴν φωνὴν κοινὴν νομίζω τῶν προφορῶν ἄνευθεν δέ γε τοῦ ἐκπορεύεσθαι.

27. Οὕτω μὲν οὖν καὶ αὐτὸς καὶ νενόηκα καὶ πεφρόνηκα καὶ λελάληκα, τῷ Χριστῷ πειθόμενος καὶ τοῖς ἐκείνου διδάγμασι καὶ ἀποστολικοῖς ἀκολουθῶν καὶ πατρικοῖς τοῖς συγγράμμασι. περίελε γοῦν τὸ μικρὸν τοῦτο πρόσκομμα, πολλὴν

---

1 ἄκρως BC **6** ὠνόμακεν B **12** ὢν BC **26** οὐσιουμένον B **33** post συγγράμμασι explicit C

ἐμποιοῦν τῇ οἰκουμένῃ διάστασιν· ἀπότεμε τοῦ κοινοῦ συμ-
204r | *βόλου τὸ ὀλιγοσύλλαβον ῥῆμα μακρὰς καὶ ἀπεράντους | τὰς μάχας ἀπεργαζόμενον. τί τὸν κοινὸν διαλύομεν σύνδεσμον; τί τὸ πνευματικὸν σχοινίον τὸ ἡμᾶς συνάγον ἐκτέμνομεν; τί τὴν τρίπλοκον σειρὰν οὐ διαφυλάττομεν καθὼς ἡμῖν παραδέδοται; τοῦτο γὰρ οὐ ψυχῶν μόνον ὑπῆρχε συναπτικόν, ἀλλὰ καὶ σωμάτων συνεκτικόν. ἐξ ὅτου δὲ διατέτμηται φθόνῳ σατὰν τοῦ ἀρχῆθεν τοῖς ἡμετέροις βασκαίνοντος, ὅσα καὶ οἷα ἐποίει κακά! ὡς ἔοικε γοῦν τῆς ἀρχαίας ἡμετέρας ἀγάπης οὐκέτι ἔχετε μνήμην, ὦ Ἰταλοί. εἰ γοῦν ἐν λήθῃ ταύτης γεγένησθε, ἐγὼ ταύτης ὑμᾶς ἀναμνήσαιμι. οὐκ ἄλλα ἄττα τῶν ἐθνῶν εἰς τοσαύτην προέβη τὴν ὁμόνοιαν καὶ τὴν σύμπνοιαν ὡς Γραικοί τε καὶ Ἰταλοί. καὶ εἰκότως· ἐκ Γραικῶν γὰρ τοῖς Ἰταλοῖς καὶ αἱ λογικαὶ ἐπιστῆμαι καὶ τὰ μαθήματα. κἀντεῦθεν ἵνα μὴ τοῖς ἐθνικοῖς τούτοις ὀνόμασι περιγράφωνται, τῇ πρεσβυτέρᾳ Ῥώμῃ ἑτέρα νέα ἀντῳκοδόμηται, ἵνα ἐξ οὕτω μεγίστων πόλεων κοινὸν ἐχουσῶν τοὔνομα Ῥωμαῖοι πάντες κατονομάζοιντο καὶ ὡς τὸ τῆς πίστεως κοινὸν οὕτως ἔχοιεν καὶ τὸ τῆς κλήσεως. καὶ ὡς ἐκ Χριστοῦ ταὐτὸ τὸ τιμιώτατον ἔλαχον ὄνομα, οὕτω καὶ τὸ ἐθνικὸν αὐτοῖς ἐπηγάγοντο. καὶ πάντα δὲ τὰ ἄλλα ὑπῆρχε τούτοις κοινά, ἀρχαὶ νόμοι λόγοι βουλαὶ δικαστήρια, αὐτὴ ἡ εὐσέβεια, οὐδὲν ὅτι μὴ κοινὸν Ῥωμαίοις τοῖς παλαιοτέροις καὶ νεωτέροις. ἀλλ' ὢ τῆς μεταβολῆς! εἰς ἔχθιστον ἄγαν τὰ τῆς προτέρας συμπνοίας κατήντηκε, καὶ καθὼς ἐπερισσεύομεν τῇ φιλίᾳ, οὕτω δὴ ὑπερπερισσεύομεν καὶ τῷ μίσει. καὶ νῦν προσφέρεσθε ἡμῖν οὐχ ἧττον ἢ τοῖς ἀσεβέσι καὶ περιτετμημένοις, εἰ μὴ ὅτι καὶ μάλιστα καὶ μάχαιρα διακρίνει τὰ καθ' ἡμᾶς καὶ ξίφος ἐμφιλοχωρεῖ τῇ μιᾷ ποίμνῃ Χριστοῦ, καὶ ἐπιχαίρει τὰ τῶν ἐθνῶν, οἷς ἡ κλῆσις τοῦ Χριστοῦ καθυβρίζεται, καὶ ἄσπονδα ἡμῖν πάντῃ καὶ ἀνειρήνευτα.*

28. *Τί τὸ προξενῆσαν ταῦτα; τὸ μικρὸν ῥῆμα τὸ ὑμῖν ἐν τῷ συμβόλῳ προκείμενον, ὃ κοινὸν τοῖς ἀσεβέσι γινόμενον ὑμεῖς ἀποτεμόντες ἐσφετερίσασθε, ὀλίγον αὐτὸ παραποιησάμενοι. ἀλλ' ἡμεῖς ὅλως παραποιηθῆναι αὐτὸ οὐ*

---

31 *ὑμῖν* B

βουλόμεθα καὶ δικαίως ἄγαν. φιλαρχικῶς δὲ τοῦτο ὑμεῖς καὶ θρασέως εἰργάσασθε, ὅπερ οὐκ ἔδει. εἴ τι γὰρ εἶχες ἄλλο νοεῖν, ἐν ἄλλοις καὶ οὐκ ἐν τῷ κοινῷ παραμιγνύναι ἐχρῆν· 'ὅρια πατέρων μὴ μέταιρε' ἀκούεις τοῦ σοφοῦ συμβουλεύοντος. ἔγωγε τὴν παρακαταθήκην φυλάττω καθὼς παρέλαβον, σὺ δὲ ταύτην παραχαράττεις. τίς οὖν ἐξ ἡμῶν τῆς ἔχθρας αἴτιος; τίς τὴν εἰρήνην ὡς μισητὴν ἀποπέμπεται; ἐγὼ τὰ κοινὰ διατηρῶ ἀπαράθραυστα, σὺ δὲ τούτοις παρεμβάλλεις καὶ ἕτερα, ὡς ἂν ἀλλοιωθείη πρὸς τὸ καινότερον. καὶ τίς τῶν ἀδελφῶν σοι πεισθήσεται; τολμήσω γὰρ κατὰ Παῦλον εἰπεῖν· εἴ τις ἐν τῷ συμβόλῳ τούτῳ τῆς πίστεως κεραίαν μίαν προσθεῖναι πειράσαιτο, κἂν Γραικὸς εἴη κἂν Ἰταλὸς κἂν ἄγγελός τις ἐξ οὐρανῶν, ἔγωγε μὲν τὸ ἑξῆς | σιωπῶ τὸ δύσφημον εὐλαβούμενος, ἅτερος δὲ ἐχθρωδέστερον διακείμενος οὐ φείσεται κατειπεῖν. τί γὰρ οἴεσθε ὡς φίλα τὰ τοιαῦτα Χριστῷ διαπράττεσθε; ἐγὼ ὑμῖν ὡς ὄντως διαμαρτύρομαι· καὶ εἰ ἀληθέστατον ἦν τὸ παρ' ὑμῶν ἐν τῷ συμβόλῳ τεθέν, οὐχ ἕξετε ἂν συγγνώμην καιρῷ τῆς μεγάλης ἐκείνης καὶ δικαίας κρίσεως διὰ τὸ αὐτονόμως ἐν τούτοις βαδίσαι καὶ καινήν τινα ἰδίως ὁδὸν αὐτουργῆσαι τῆς πίστεως. ἐπέγνωσται δὲ ἡμῖν, ὡς οὐδὲ τῆς ὀρθότητος ἔχεται τὸ λεγόμενον· περιαιρετέον οὖν διὰ ταῦτα αὐτό. ἀπότεμε — καὶ αὖθις γὰρ φιλικῶς καὶ ἀδελφικῶς συμβουλεύω σοι — ἐκ τοῦ συμβόλου τὸ σκάνδαλον, μὴ τοσοῦτον ἡμῶν ὁ σατὰν κατισχύσειεν, ὡς εἰς τοσαύτην ἡμᾶς μεταβαλεῖν ἀγερωχίαν καὶ ἔπαρσιν, ὡς μηδὲ διὰ φιλαδελφίαν τοῖς δικαίοις συγκαταβαίνειν καὶ τῶν πατέρων προσηκόντων ἀντέχεσθαι, ἀλλὰ πάντα ἡγεῖσθαι οὐδὲν πρὸς τὰ ὑφ' ἡμῶν νενοημένα καὶ λελεγμένα. εἰ γὰρ θελήσεις κατὰ τὸ κυρίου παράγγελμα μὴ σκανδαλίζειν ἡμᾶς, εὐχερῶς σοι τοῦτο κατορθωθήσεται. κοινῶς ἑνὶ καὶ νοῒ καὶ λόγῳ πνεύματι τὸ τῆς πίστεως λέξωμεν σύμβολον καὶ μιᾷ καρδίᾳ καὶ στόματι ἐν πᾶσι τοῦτο διακηρύξωμεν. οὐ μεγάλα ὑμᾶς ἀπαιτοῦμεν καὶ

Plat. Leg. VIII p. 842 Suid. s. v. ὅρια

| 204v

11 Gal. 1, 8. 29 Matth. 18, 6.

11 τοῦτο B 22 ἔχετε B 31 <καὶ> πνεύματι?

δυσχερῆ οὐδὲ τοῦ δικαίου πόρρω βάλλοντα, ἀλλὰ θεῖά τε καὶ προσήκοντα, δίκαιά τε καὶ ὅσια, οὐδὲ τῷ σατὰν κεχαρισμένα, ἀλλὰ τὰ πεφιλημένα τῷ πνεύματι. ὑπὲρ οὗ γοῦν ὁ πόλεμος, ὑπὲρ τούτου καὶ ἡ εἰρήνη κατορθωθήτω, ἐν ᾗ καὶ μᾶλλον χαίρει θεός. περιβάλωμεν οὖν ἀλλήλους καὶ περιπτυξώμεθα ἐν ὁμονοίᾳ τοῦ πνεύματος καὶ ἀσπασώμεθα ἐν ἁγίῳ φιλήματι, τὰ αὐτὰ φρονοῦντες, τὰ αὐτὰ δογματίζοντες, ἵνα ταῖς αὐταῖς σκηναῖς ταῖς αἰωνίαις καὶ μακαρίαις τῷ ἑνὶ συναχθείημεν πνεύματι. κοινὴ γενέσθω τῇ ἡμετέρᾳ ἑνώσει χαρὰ τοῖς οὐρανίοις καὶ ἐπιγείοις· χαιρήσονται γάρ, εὖ οἶδα, ἐν τούτοις ἄγγελοι καὶ πᾶσα ἡ ὑπερκειμένη δύναμις, ὥσπερ ἀρτίως ἀνιῶνται τῇ διαστάσει, οἱ δὲ τοῖς ἡμετέροις ἑπόμενοι νόμοις ἢ λόγοις σκιρτήσαιεν, τοὺς προηγουμένους αὐτῶν ὁμοφρονοῦντας τεθεαμένοι, δαίμονες δὲ σκυθρωπάσαιεν καὶ τὰ ἀσεβῆ τῶν ἐθνῶν καταπτήξαιεν. ὃ καὶ γένοιτο δεύτατα, θεῖε δημιουργὲ τοῦ παντὸς καὶ τῶν γεγενημένων προνοητὰ καὶ τῶν κακῶς φερομένων διορθωτά, ὁ πατὴρ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὅτι σοι πρέπει δόξα καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

8 ἠωνίαις B

Epistula ad Joannem Tornicam.

Cod. Laur. conv. soppr. 627

Ἐπιστολὴ τοῦ σοφωτάτου μεγάλου λογοθέτου γραφεῖσα fol. 11 v πρὸς τὸν περιπόθητον συμπενθερὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως παντευτυχέστατον σεβαστοκράτορα κύριν Ἰωάννην τὸν Τορνίκην, γράψαντα αὐτῷ μετρίως καὶ φιλικῶς ὅτι ʽψευδῶς κάθησαι καὶ τρώγεις τὸ ψωμὶ τοῦ βασιλέως ἐντὸς τῆς Κωνσταντίνου πόλεως· τὴν δουλείαν γάρ, ἥντινα ποιεῖς σύ, δύναμαι ἐλθεῖν καὶ ἐκπληροῦν καὶ αὐτός, ἤγουν ἑρμηνεύειν τοὺς παῖδας τὸ ὄργανον καὶ τὰς τοῦ σεκρέτου διεξάγειν ὑποθέσεις.ʼ

Ἡράκλεις, μουσόληπτος ἐξαπίνης ὁ φίλτατός μοι σεβαστοκράτωρ, κάτοχος ἄγαν τῷ Ἑρμῇ ἀναπέφανται· ἐξηκόνισται γὰρ τὴν γλῶτταν πρὸς τὴν εὐφράδειαν, ἀπέξεσται τὸν φθόγγον πρὸς τὴν ἐμμέλειαν, καὶ ὅλος χαρίτων Ἀττικῶν ἀναπέπλησται. μὴν οὖν δάφνην ἐψώμισται πρὸς μου⟨σῶ⟩ν καὶ οὕτως ἐξαίφνης | ἐλλογιμώτατος, ὡς τὸν Ἄσκρηθεν οἵ fol. 12 r πάλαι μυθεύονται, ἢ καταδαρθὼν καὶ ἀφυπνισθεὶς εὗρε μελίττας σίμβλον κατεργασαμένας τῷ στόματι, καθά πού τινες περὶ τῆς Θηβαίας λύρας ἐξιστορήκασιν; ἔγωγʼ οὖν μὰ τοὺς λόγους ἐκπέπληγμαι, φρίκης τε καὶ θάμβους ἐμπέπλησμαι ἐν οὕτω μεγάλοις καὶ θαυμαστοῖς, θᾶττον ἢ λόγος γεγενημένοις πράγμασι. πεπίστευκα γὰρ ἐναργῶς καὶ εὐφραδῆ σε τυγχάνειν καὶ φιλοσοφίας ἀνάπλεων, καὶ πλημμύραν εἶναί σοι λόγων, καὶ διδάσκειν τοὺς βουλομένους δυνάμενον καθὼς καὶ ἐδήλους τῷ γράμματι. πῶς γὰρ ἂν εἶχες μὴ τἀληθῆ λέγειν τοῖος ἐών; ἀλλʼ ἀπεφθόνηκάς μοι τῶν ἀγαθῶν καὶ βάσκανον ὄμμα τοῖς τῷ φίλῳ θυμήρεσιν ἐναποπέπομφας

---

26 ἐναπέπομφας cod. ἀναπέπομφας?

καὶ ἐναλλάττειν βίους προῄρησαι, χάλκεια ὄντως χρυσείων ἀνταλλάξαι βουλόμενος. οἶσθα καὶ γὰρ ὡς μέγα τι χρῆμα ὁ λόγος καὶ κλέος τούτου οὔποτ' ὀλεῖται καὶ τὰ τῆς φήμης τῶν διδαγμάτων ὁ σύμπας αἰὼν οὐ διαφθείρειν δυνήσεται. πρὸς γοῦν τὸ μεγαλεῖον ἀπεῖδες τοῦ πράγματος, καὶ τοῦ ὕψους ἐστοχάσω καθεστηκότος αἰθεροβάμονος, καὶ διὰ ταῦτα παρ' οὐδὲν τὸν φίλιον θέμενος ἀφελέσθαι ταυτὶ τοῦ ἀγαπωμένου προῄρησαι, καὶ ἑαυτῷ μὲν περιθέσθαι τὰ κάλλιστά τε καὶ τιμιώτατα, ἐκείνῳ τε δοῦναι τὰ σὰ ἥττω πολὺ τούτῳ τῶν τοιούτων λελογισμένα· καὶ σὲ μὲν τῆς ἀπὸ τῶν λόγων εὐκλείας ἀπολαῦσαι καὶ τῆς τιμῆς, ἐκεῖνον δὲ περιπέζιά τινα καὶ χθαμαλὰ λαβεῖν παρὰ σοῦ. τί γὰρ πρὸς τὰ μεγάλα ταῦτα καὶ νοερὰ θεωρήματα καὶ τῆς ὕλης ὑπερανῳκισμένα καὶ τοῦ συγκρίματος κυανόχροα δέρματα καὶ τὸ εὐτυχὲς τοῖς ἔξω χρωματιζόμενον, κἂν μετ' ἐπιτάσεως γράφηται;

Ἔγωγ' οὖν εἰ καὶ μετὰ δυσφόρως ἐχούσης καρδίας καὶ λύπῃ δακνομένης βαρυαλγεῖ τὴν τοῦ φίλου ἀξίωσιν δέχομαι. τί γὰρ ἂν καὶ πάθοι τις ὁπόταν φίλος βιάζηται; συναντ-αλλάξαι δὲ τοῖς βίοις καὶ τὰς τύχας τῶν ἀναγκαίων ἐστίν· οὐδὲ γὰρ τόπους ἀμεῖψαι ἡμᾶς ἀλλὰ βίους γεγράφηκας, βίῳ δὲ τύχη ἀκολουθεῖ καὶ βίος τύχῃ συμπάρεστιν. ἤδη γοῦν αὐτὸς τὰ τῆς φιλίας πεπλήρωκα· ἄλλον γὰρ αὐτὸν οἶδα τὸν φίλον ἐν ἀναπτύξει τῆς φύσεως. ἀλλ' — ὅ με τοῦ γράμματος λέληθεν — ὧνπερ ὁ φίλος ὡς πρωτίστων καὶ τιμιωτέρων — ἐρῶ δὲ κατ' αὐτόν — καὶ ἡδυτέρων καὶ προσηνεστέρων ἀπεμνημόνευσεν, αὐτὸς οὐδ' ὅλως μνήμην πεποίημαι, τὰ ἡδέα λέγω τῆς Κωνσταντίνου, τὰ ἐνδιασκευώς τούτῳ περιηγηθέντα τῷ γράμματι, κἂν οὐκ εἰς τέλος αὐτῷ τὰ τῆς διατυπώσεως γένοιντο ἔνθα περὶ τρυφῶν διελέγετο ὑδάτων τε διειδῶν καὶ ἀέρων εὐκραῶν καὶ τῶν ἄλλων ἁπάντων τερπνῶν. παραλέλοιπε γὰρ τὰ κρείττω τούτων πολύ, τὰ κάλλη καὶ μεγέθη τῶν δομημάτων σῶν ἐν τοῖς ναοῖς καὶ οἰκήμασι. τί λέγεις; οὐ τὴν ὄψιν ἡδύνῃ ἐκ τῆς τῆς θαλάττης ἐπιφανείας, οὐ τοὺς λουτῆρας καθαίροντας καὶ πολλὴν παρεχομένους τὴν ἡδονήν; ἢ καὶ τὰ πολυειδῆ τῶν

---

31 *παραλέλοιπε* sc. *τὸ γράμμα.*

ἰχθύων ἔθνη ὡς οὐδὲν ἡγῇ καὶ τὰς διαφόρους ὀπώρας καὶ τὰς ἀνθοσμίας τῶν οἴνων, οἷς καὶ μᾶλλον τρυφῶμεν οἱ τῇ γαστρὶ χαριζόμενοι, ὧν ἡ Κωνσταντίνου μετέσχεν ὑπερπλησμίως; ἀλλ' ὦ τάν, τὰ μὲν ἔφησθα, τὰ δ' οὐκ ἔφησθα. καὶ ὅτι μὲν ἐν ἡμῖν τοιαῦτα λογίζῃ, ὅτι δὲ ἕτερ' ἄττα κρείττω πολὺ παρὰ σοί, οὐδ' ὁπωστιοῦν ἐνθυμῇ. καὶ ὅτι σὺ μὲν τῷ κοσμικῷ ἡλίῳ τυγχάνεις σχεδὸν καὶ ἀμέσως τῶν ἀκτίνων αὐτοῦ ἐμφορῇ καὶ τῶν ἀμαρυγμάτων εἰς κόρον μεταλαμβάνεις, ὡς καὶ ἡλιοειδῆ σε παρὰ πᾶσι καὶ εἶναι καὶ ὀνομάζεσθαι, ἡμεῖς δὲ Κιμμέριοι πεφύκαμεν ἄντικρυς ψύχει καὶ ζόφῳ ἐκπιεζόμενοι, οὐδ' ὅλως ἐπιτίθῃς. καὶ ὅτι σὺ μὲν παρὰ τῇ μεγίστῃ τοῦ παραδείσου καθειστήκεις πηγῇ, ἐξ ἧς οἱ τέτταρες τῶν ἀρετῶν ἀναβλυστάνουσι ποταμοί, καὶ τῶν ναμάτων ἐπαπολαύεις τῶν ζωηρρύτων καὶ δίψης πάθος οὐδ' ὅλως ἔχεις, ἡμεῖς δὲ τῶν παρ' αὐτῆς ἀλλομένων ὑδάτων ἀσχάλλομεν στερισκόμενοι, πρὸς οὐδὲν λογίζῃ. ἀντάλλαξον τὰ σὰ τοῖς ἐμοῖς, αὐτὸς γὰρ ἤδη συντίθεμαι, καὶ ἐλεύσομαι πρὸς Ἄρην καθὼς εἰρήκεις σφριγῶν, κἂν ἀπο⟨δειλιῶ τὸ τῆς μάχης⟩ ἀλλοπρόσαλλον· ὁ θῶκος δέ σοι ὁ διδασκαλικὸς παρεσκεύασται, ηὐτρέπισται δέ σοι καὶ ἡ καθέδρα τῶν κρίσεων. καὶ δίδασκε μὲν τοὺς πρὸς παιδείαν φιλόσοφον προσερχομένους σοι τἀληθῆ, δίκῃ διίθυνε θέμιστας. Hesiod. Op. 9. ⟨γενέσθω δ' οὖν ἡμῖν⟩ ἡ ἀντάλλαξις τῶν βίων γνώμῃ τοῦ κρατοῦντος ἀμφοῖν· οὔτε γὰρ αὐτὸς οἰκείᾳ βουλήσει τυγχάνεις ⟨τὰ τοῦ σεβαστοκράτορος διεκπληρῶν⟩ οὔτ' ἔγωγε πρὸς οἷς ἀποτέταγμαι. αὐτὸς μὲν οὖν ὡς ὁρᾷς τὰ τοῦ φιλίου ἐκπέπληκα· σὸν δ' ἂν εἴη τὸ ἀπὸ τοῦδε ἐνεργεῖσθαί σου τὴν ἀξίωσιν.

---

11 ἐπιτίθῃς dubit. scripsi, ///////////τίθῃς cod. **18** lacunam explevi; cf. I 104, 12. **22** θεμιστάς cod. **23** ⟨γενέσθω δ' οὖν ἡμῖν⟩ tentavi, litterae exstinctae sunt. **25** lacunam explevi.

In Gregorii Nazianzeni sententias.

Greg. Naz. or. XXIX. P. gr. 36 c. 76 B

Τοῦ σοφωτάτου μεγάλου λογοθέτου κυροῦ Γεωργίου τοῦ Ἀκροπολίτου ἑρμηνεία τῶν θεολογικῶν ῥητῶν τοῦ τε 'ἔστι γὰρ καὶ τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ πολλὰ γίνεσθαι' καὶ τοῦ 'μονὰς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη.'

1. Πολλοὶ μὲν καὶ ἄλλοι τῶν φίλων, ὦ θειότατε καὶ σεβασμιώτατέ μοι κεφαλή, εἰς λόγους ἐλθεῖν ἡμᾶς κατηνάγκασαν καὶ τὸ περὶ φιλοσοφίαν φιλότιμον παρ' ἑαυτοῖς ἐπιδείξασθαι, κἀντεῦθεν καὶ λόγους παῖδας ἡμεῖς εἰς φῶς προηγάγομεν. ἀλλ' ἐν ἐκείνοις μὲν λόγοις καὶ μόνον φιλίας συνδούμενοι καὶ τὸν φίλιον εὐλαβούμενοι ἀπεπληροῦμεν τὰ κελευόμενα· ὅπου δὲ πατρικὴ σχέσις καὶ ὑπερκειμένη τῶν ἄλλων στοργή, πῶς οὐκ ἂν εὐπειθέστεροι περὶ τὰ προσταττόμενα διατεθείημεν; ἀμέλει τοι τῷ σῷ χειραγωγούμενοι πνεύματι, μᾶλλον δὲ τῷ κοινῷ τε καὶ θείῳ, ἐξ οὗ πᾶσα γνῶσις ἀληθινὴ πρὸς τοὺς ἀληθείας ἐπιφεφοίτηκεν ἐραστάς, ὡς ἐξὸν τεθαρρηκότες περὶ τοὺς λόγους χωροῦμεν καὶ τὰς λύσεις τὰς ἁρμοττούσας τοῖς τοῦ θεολόγου Γρηγορίου ῥητοῖς, καθὼς αὐτός περ ἠξίωσας, σαφηνίσαι σοι βεβουλήμεθα.

2. Δύο δὲ τὰ ἀπορήματα τυγχάνει ἐπὶ δυσὶ δὲ ῥητοῖς, τῷ τε φάσκοντι 'μονὰς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη' καὶ τῷ λέγοντι 'ἔστι μὲν ὅπου καὶ τὸ ἓν στασιάζον καθ' ἑαυτὸ πολλὰ γίνεσθαι'. ἀλλὰ τὸ μὲν προσρημένον ἀπόρημα ὀλίγης τινὸς παραμυθίας δεόμενον, ὡς προϊόντες ἐροῦμεν, διὰ μικρῶν σαφηνίσομεν· τὸ δ' ἄλλο πολλῆς τινος καὶ ποικίλης καὶ ὑψηλοτέρας ὡς οἶμαι δεῖται τῆς σαφηνείας.

V = Cod. Vatic.-Palat. 243 fol. 251ᵛ sq. M = Cod. Mutinens. 64 (III B 12) fol. 138ʳ sq.

2 τοῦ τε V τοῦτο M **4** μινηθεῖσα M **6** μοι om M **10** τὸν] τὸ? **16** τοῖς λόγοις M **23** περιμυθίας M **25** τῆς om. M

περὶ τούτων καὶ γὰρ ἐν μείραξιν ἔτι τελῶν καὶ τῷ θεσπεσίῳ ἐκείνῳ ἀνδρὶ τῷ φιλοσοφωτάτῳ Βλεμμύδῃ, ἡνίκα παρ' αὐτῷ ἐφοίτων, ἐκοινολογησάμην, ἀλλ' οὐδέν τι μοι εἶχεν εἰρηκέναι σαφῶς· ἀλλ' ἅπερ καὶ ἄλλοι τὰ τοῦ πατρὸς ἐξηγούμενοι — λέγω δὲ τὸν μέγαν ἐν τοῖς λόγοις Μάξιμον καὶ P. gr. 91 c. 1033 *τοὺς μετ' αὐτὸν — εἰς πλάτος ἢ καὶ κατὰ σχολὴν διασαφοῦντες εἰρήκεσαν, ἐκεῖνά μοι καὶ αὐτὸς πρὸς τὴν ἀπορίαν ἐφθέγγετο. ἀλλ' ἐπείπερ αὐτὸς τῶν τῆς φιλοσοφίας ἡψάμην ὀργίων τῷ τε θειοτάτῳ συνῆλθον Πλάτωνι καὶ τῷ μουσολήπτῳ Πρόκλῳ, ἔτι τε μὴν τοῖς ἐνθεαστικωτάτοις ἀνδράσιν Ἰαμβλίχῳ τε καὶ Πλωτίνῳ καὶ τοῖς λοιποῖς, οὓς οὐ καιρὸς καταλέγειν, ἐποδηγήθην πρὸς τὴν διάγνωσιν τοῦ ῥητοῦ. ἀμέλει τοι καὶ σαφηνίσαι τοῦτο προήχθην ταῖς σαῖς θαρρήσας εὐχαῖς, σὺ δὲ ἵλεως ἡμῖν εἴης ὑπὲρ τὰ ἐσκεμμένα τετολμηκόσι πηδᾶν, οἵπερ τὸ τῆς ζωῆς πλοῖον ἐν πολιτικοῖς ἔχοντες πράγμασιν ἀπηναιδευμένως οὕτω περὶ τὰ θεῖα φερόμεθα καὶ τὰ ὑπὲρ ἡμᾶς ἐξετάζειν ἐθέλομεν, ἃ μόνοις ἐφεῖται τοῖς ὑπὲρ τὴν ὕλην γεγενημένοις καὶ ὑπερανῳκισμένοις τῶν ἡδονῶν. ἀλλ' ἡμεῖς μὲν οὐχ οὕτως· ἀλλὰ μόνον ὑπακοῇ χρώμενοι πληροῦμεν τὰ ἐντελλόμενα.*

3. *Ἤδη οὖν ἀρκτέον τῆς τῶν ῥητῶν σαφηνείας καὶ πρῶτον μὲν τοῦ λέγοντος ‛ἡ μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη'. δόξειε μὲν ἄν τισιν οὐκ εὔλογα λέγειν τὸν τὰ τοιαῦτα θεολογοῦντα, πρῶτον μὲν ἐν οἷς φησι τὴν μονάδα εἰς δυάδα κινηθῆναι. καὶ γὰρ εὐχερῶς ἄν τις αὐτὸν ἔροιτο· ‛πότερον ἄρα φῄς, ὡς ἦν ἐν στάσει πρότερον ἡ μονάς, εἶτα δῆτα κινητικήν τινα προσλαβοῦσα δύναμιν ἐναντίαν τῇ πρώτῃ οἷον εἰπεῖν στατικὴν οὕτω τῆς κινήσεως κεκίνηται εἰς δυάδα κᾆτα δὴ εἰς τριάδα, κἀντεῦθεν ἑτέραν προσειληφυῖα δύναμιν ἔστη, ἢ οὖσα μονὰς κινουμένη διηνεκῶς εἰς δυάδα καὶ μέχρι τριάδος βαδίζουσα, ὡς μεταιχμίου τινὸς ἐν*

---

1 *ἔτι* em. *ἔστι* VM 2 *Βλεμήδ'* M 3 *αὐτῷ* scripsi *ἑαυτῷ* VM 6 *αὐτῶν* M *σχολὴ* M 10 *μὴν* V *καὶ* M *ἐνθεαστικωτάτοις* em. *ἐν θεασικωτάτοις* V *ἐν θεασιμωτάτοις* M 11 *ἰαμβλήχω* VM 14 *ἵλεως* V *θήλεως* M 16 *ἀπηναιδεσμένως* M 27 *ἡ* V *ἢ* M 28 *στατικῇ*? *οὕτω* V *οὗ τα* M 31 *μετειμίου* M

δυάδι τυγχάνοντος, τὴν στάσιν εὕρηκεν ἐν αὐτῇ, τῆς μὲν μονάδος ἐχούσης τὴν κινητικήν, τῆς δὲ τριάδος ἵν' εἴπω τὴν στατικήν; ἀλλὰ καὶ ἐν ἀμφοῖν τοῖν λόγοιν ἄτοπα ἄττα ἀκολουθεῖ. εἰ μὲν γάρ ἔστι τις ἀρχὴ τῆς μοναδικῆς κινήσεως, ἔσχε τὸ θεῖον ἀρχήν, ἀλλὰ καὶ πάθος, τὴν κίνησιν, εὕρηκε καὶ ἀκούσιον ἔσχηκε στάσιν, καὶ ὡς ἐπὶ δράματος ἡμῖν ἀνεφάνη θεός, ἀρχὴν λαβὼν καὶ πάθους μετασχὼν καὶ τῆς πρόσω φορᾶς ἀκουσίως ἱστάμενος. οὗ τί ἂν εἴη γελοιωδέστερον; εἰ δὲ ἀπείρως τῆς μονάδος κινουμένης ἔξωθεν ἐπῆλθέ τις δύναμις, ἀναχαιτίζουσα μὲν αὐτὴν τῆς ὁρμῆς, εἰς διαίρεσιν δὲ καὶ ἀριθμὸν ἐπάγουσα καὶ τῆς πρόσω φορᾶς τῆς μοναδικῆς κωλύουσα, καὶ πάλιν ὡς ἐπὶ σκηνῆς εὑρέθη ἄλλος θεός, τοῦ ἐν τῇ μονάδι τῇ ἀπείρως καὶ πρώτως κινουμένῃ θεωρουμένου καὶ οἷον εἰπεῖν μὴ ἱσταμένου τοῦ μοναδικοῦ χύματος ἐναντίος τε ἅμα καὶ ἰσχυρότερος. ἀλλὰ καὶ τοῦτο δὴ ἀτοπώτατον δύο πρώτους καὶ ἐναντίους στῆναι θεούς.'

4. *Ὅτι μὲν οὖν ἔστι θεὸς παρὰ πᾶσι σχεδὸν ὡμολόγηται, Ἕλλησί φημι καὶ βαρβάροις· Ἐπίκουρος γὰρ ἀποπεμπέσθω τοῦ λόγου καὶ εἴ τις ἕτερος ἄθεος, αὐτόματον δοξάζων καὶ τυχὸν ἢ ἄλλο τι παραλήρημα. ἀλλ' ὅτι μὲν ἔστι θεός, πάντες οἴδασιν· ἀπόδειξιν δὲ τοῦ εἶναι θεὸν οὔτε τις δεδύνηται οὔτ' ἂν δυνηθείη ποιήσασθαι. αἱ γὰρ ἀποδείξεις ἐκ τῶν καθόλου τὰ ἐπὶ μέρους ἀποδεικνύουσι, καθολικώτερον δὲ ὂν τοῦ πρώτου ὄντος οὐκ ἄν τις ἐρεῖ οὐδ' ἀναπλάσειε πώποτε. πάντως γὰρ ἐκεῖνο ἂν εἴη τὸ πρῶτον, ὅπερ ἂν εἴη πρῶτον καὶ μέχρις ὅτου δύναιτο ἂν προβαίνειν· ὅπου γὰρ ἂν σταίη καὶ ἀνυπόθετον θείη, ἐκεῖνο ἂν εὕρῃ τὸ πρώτως ὄν. διὰ ταῦτα ἀπόδειξιν κατασκευάζουσαν, ὅτι ἔστι θεός, οὐ ῥᾴδιόν ἐστιν ἐφευρεῖν. παραμυθίαν δέ τινα ἐξ ἐπαγωγικῆς οἷον μεθόδου οἱ θεολογήσαντες ἐφεῦρόν τε καὶ* Aristot. = Cicer. nat. d. II 37, 95. *παρέδωκαν ἔκ τε τῆς εὐτάκτου τοῦ παντὸς κινήσεως τῆς σφαιρικῆς τε περιπολήσεως τῶν ἐν αὐτῇ καθιδρυμένων ἄστρων, τῶν τε ἰδίαν ἐχόντων κίνησιν καὶ τῶν συμπεριφερομένων τοῦ οὐρανοῦ κύτει, καὶ ἄλλοις τοιούτοις εἰς κατασκευὴν*

1 *τυγχάνοντες* M *εἴρηκεν* M 3 *ἀκολουθεῖαν* M 4 *ἀρχὴ* em. *ἀρχῆς* VM 14 *ἱσταμένου* em. *ἱσταμένης* VM 20 *τύχον* VM 33 *καὶ τὰ τῶν* M *τοῦ*] *τῷ*?

κατεχρήσαντο, οὐχ ἧττον δὲ καὶ τὴν καθ' ἡμᾶς ζωικὴν ἁρμονίαν εἰς λόγους παραλαβόντες. ἀλλ' ἡμεῖς τὰ τοιαῦτα ἀφέντες ἄλλην τινὰ συντομωτέραν ὡς οἶμαι καὶ ἀναγκαστικωτέραν βαδίσαιμεν, καὶ μόνον οὐχὶ γεωμετρικαῖς ἀποδείξεσιν ἀποδείξαιμεν, ὅτι ἔστι θεός.

5. Ἀρκτέον οὖν ὧδε ἀπὸ κοινῶν καὶ ὁμολογουμένων πραγμάτων ἢ νοημάτων τὰ τῆς ἀποδείξεως ποιουμένοις. ἔστι μὲν ἡ οὐσία, καὶ οὐδεὶς ὁρῶν ἀντερεῖ ἢ ὁπωσοῦν αἰσθανόμενος· ἔστι γὰρ καὶ λίθος καὶ ξύλον καὶ ἵππος καὶ ἄνθρωπος ἐν οὐσίᾳ τινὶ συνυπάρχοντα. ἔστιν ἐν ταύτῃ καὶ αἴσθησις, καὶ τοῦτο σύμπας ὁμολογήσειεν· ἅπτεται γὰρ καὶ ὁρᾷ τὸ ζῷον ἀκούει τε καὶ ὀσφραίνεται. ἔστι γοῦν οὐσία, καὶ ἐπὶ ταύτῃ κρείττων δύναμις αἴσθησις. ἔστι καὶ τὸ φανταστικῶς γινώσκειν ἔν τισι τῶν αἰσθανομένων ζῴων, δι' οὗ καὶ τὸ χνοειδὲς τὰ τούτου μετέχοντα ὑπεμφαίνουσιν, οἷον ἀράχναι μέλιτται μύρμηκες· ἐντεῦθεν καὶ μνήμη ἐνίοις ἐγγίνεται, ὡς κυσὶ καὶ ἵπποις καὶ ἄλλοις τοιούτοις. ἔστιν οὖν σὺν τοῖς εἰρημένοις, οὐσίᾳ τε καὶ αἰσθήσει, καὶ φανταστικὴ δύναμις, τῶν λελεγμένων κρείττων πολύ. ἀλλ' ἔστιν ἐπὶ πᾶσι τούτοις καὶ βελτίων γνωστικὴ δύναμις, τὴν τῆς νοερᾶς λέγω ψυχῆς, ἣ καὶ λόγον γεννᾷ ἐνδιάθετον καὶ συντίθησι τὸν προφορικὸν καὶ τέχνας ποιεῖ, κρείττων τῶν προλελεγμένων πολλῷ τῷ μέτρῳ τυγχάνουσα· φέρει γὰρ ἐν ἑαυτῇ καὶ τὰς ὑποδεεστέρας δυνάμεις κρειττόνως ἢ ἐν οἷς καὶ μόνον αὗται πεφύκασιν. ἐπεὶ γοῦν ταῦθ' οὕτως ἔχει καὶ ὡμολόγηται, ἀνάγκη πᾶσα καί τι εἶναι τὸ ὑπερκείμενον, ἐξ οὗ καὶ ταῦτα τὰ σύνθετα. εἰ γὰρ οἰκία οὐκ ἂν γένοιτο τεχνίτου χωρὶς ἐκ λίθων καὶ ξύλων καὶ ἀσβέστου συνηρμοσμένη, ἀλλ' οὔτε ναῦς πηχθείη ἄν ποτε ἄνευ τινὸς ναυπηγοῦ, πῶς ἂν τὰ τῇδε πάντα ὑπερκάλως ἐρρυθμισμένα τοῖς διαφόροις συγκρίμασι συσταίη δημιουργοῦ τινος ἄτερ καὶ ποιητοῦ; ἐπεὶ δὲ ταῦτα ἔσχεν ἀρχὴν χρονικήν, ἀνάγκη ἐκεῖνο ἄχρονον εἶναι· ἐπεὶ δὲ ταῦτα πάσχει φθοράν, ἐκεῖνο πάντῃ γε ἄχρονόν τε καὶ ἄφθαρτον, προληπτικὸν ὂν τῶν

Nic. Blem. log. 19. phys. 2.

Aristot. de anim. 428 a.

2 ἡμεῖς εἰς τὰ M 4 βαδίσωμεν M 5 ἀποδείξωμεν M post θεός add. ὅρα VM 8 ὁπωσονοῦν V ὁπωνοῦν M 22 κρείττω VM 25 τοῦθ' M

μετ' αὐτὸ καὶ παρ' αὐτοῦ γινομένων καὶ προαγωγὸν τῶν δυνάμεων ὧν ταῦτα μετέχει. εἰ γοῦν ἔστιν ἐνταῦθα ὄν, ἔστι τι τὸ προόν· καὶ εἰ ἔστιν αἴσθησις, ἔστι τι προαισθόμενον ἢ μᾶλλον ὑπεραισθόμενον· καὶ εἰ ἔστιν ἐνταῦθα νοῦς, ἔστι τι τὸ προνοοῦν ἢ καὶ ὑπερνοοῦν. διὰ ταῦτα ἔστι θεός· οὕτω γὰρ τὸ πρώτως ὂν παρὰ πᾶσιν ὠνόμασται. ἤδη γοῦν καὶ ἡμῖν ἁπλουστάτως καὶ αἰσθητικῶς μόνον οὐχὶ ἀποδέδεικται ὡς ἔστι θεός· οὐ γὰρ ἄν ποτε συσταίη τι μὴ ἀρχὴν ἔχον τινά, ἐξ ἧς οὐσιωθείη καὶ μετάσχῃ δυνάμεως.

6. Ἐπεὶ γοῦν ταῦτα καλῶς ἡμῖν εἴρηται, ἰτέον ἐπὶ τὴν ἀπορίαν καὶ διαλυτέον αὐτήν. κίνησιν μὲν κυρίως ἐν τοῖς θείοις οὔ φαμεν, ἀλλ' οὔτε στάσιν· τοῖς καθ' ἡμᾶς ἁρμόττει ταῦτα καὶ ὑπὸ αἴσθησιν. τῆς γὰρ κινήσεως ἐξαχῆ λεγομένης, κατὰ γένεσιν καὶ φθοράν, κατὰ αὔξησιν καὶ μείωσιν, κατά τε ἀλλοίωσιν καὶ τὴν ἐκ τόπου εἰς τόπον μετάβασιν, οὐδεμίαν ἐκ τούτων εὑρίσκομεν τῷ προαιωνίῳ ὄντι προσήκουσαν. πόρρω γὰρ γενέσεως τὰ θεῖα καὶ τῆς ἑπομένης ταύτῃ φθορᾶς, αὔξει τε οὐδαμῶς τὰ θεῖα, ἀλλ' οὐδὲ μείωσιν πάσχει, οὔτε μὴν ἀλλοιοῦται, ἀναλλοίωτα γὰρ ταῦτα πάντῃ, ἀλλ' οὐδὲ μεταβάλλει ἐκ τόπου εἰς τόπον, ὑπὲρ τόπον γὰρ ὡς καὶ ὑπὲρ χρόνον καθέστηκεν. ἀλλὰ τὴν μεταβατικὴν γνῶσιν, καθ' ἣν τὸ πρώτως ἐγνώκαμεν ὄν, κατα δὴ τὰ ἐξ αὐτοῦ, ταύτην φαμὲν κίνησιν, καὶ τὴν εἰς τὸ πρόσω μὴ μεταβαίνουσαν εἰρήκαμεν στάσιν. μονάδα γοῦν φαντασθέντες τὸ πρῶτον, εἶτα δὴ οὐκ ἄγονον ἐννοήσαντες, εἰς δυάδα οἷον τῇ φαντασίᾳ ταυτηνὶ κεκινήκαμεν. ἐντεῦθεν προχωρήσαντες εἰς τριάδα ἔστημεν, τοῖς ὑπὲρ τούτων λογίοις ἑπόμενοι, μὴ περαιτέρω κινοῦντες ταῖς νοήσεσι τὰ ἀκίνητα. ἀκίνητον γὰρ μόνως τὸ θεῖον, πάντα δὲ ὑπ' αὐτοῦ κινεῖται· ἅπαν γὰρ κινούμενον ὑπὸ τοῦ ἐθέλειν κινεῖσθαι, καὶ τοῦτο εἰ κινοῦν κινεῖται, ὑφ' ἑτέρου πάλιν ἀνάγκη κινεῖσθαι, καὶ οὐκ ἂν σταίημεν ἀπειράκις ταῦτα ὑποτιθέμενοι, εἰ μὴ εἴς

Nic. Blem. log. 21.

---

2 δυναμένων VM 5 τὸ om. M. ταῦτ' M 6 ὢν VM 9 τι V τον M μετάσχοι? 11 ἰστέον M 18 γεννέσεως VM 21 ὡς om. M 24 τὴν V τὸν M 29 περαιτέρων M 33 ὑποτεθέμενοι M

τι ἀκίνητον καταντήσαιμεν, ὃ κινοῦν οὐ κινούμενον. τοῦτο δὲ τὸ πρῶτον πέφυκεν ὄν, ἐπείπερ ἡ φύσις κινοῦσα τὰ σώματα ὑπό του ἄλλου κινεῖται· ψυχὴ γὰρ τὴν φύσιν κινεῖ καὶ ταύτην ὁ νοῦς, τοῦτον δὲ αἱ κρείττους δυνάμεις καθ' Ἕλληνας, ταύτας δὲ τὸ πρῶτον αἴτιον καὶ ἡ ἄρρητος ἐκείνη καὶ παντουργικὴ δύναμις.

7. Ἐπεὶ οὖν τὰ περὶ κινήσεώς τε καὶ στάσεως τῶν ἐπὶ τῆς θείας φύσεως λεγομένων καθ' ὅσον ἔδει διασεσαφήκαμεν, ἐπὶ τὴν ἑτέραν ἀπορίαν ἰτέον ἡμῖν τὴν λέγουσαν 'ὡς ἔστιν ὅτε καὶ τὸ ἓν στασιάζον πολλὰ γίνεσθαι'· κἀντεῦθεν διὰ τῆς τοῦ ῥητοῦ λύσεως γνωστὸν ἡμῖν γένοιτο, πῶς ἡ μονὰς οὐ μέχρι δυάδος ἔστη, ἀλλ' οὐδὲ τριάδος περαιτέρω προσέβη. καὶ πρῶτον μὲν ἀπορητέον οὕτως. εἴπερ ἔστι τι κυρίως ἕν, μὴ ἔκ τινος ἢ ἔκ τινων εἰς ἑνοειδῆ τινα φαντασίαν συντεθὲν ἀλλ' ἐν τῷ ἑνὶ τὴν οὐσίαν ἔχον, πῶς μένον ἓν ὅπερ ἐστὶ στασιάσειε; καὶ μὴ μένον ἕν, εἰς δύο δὲ ἢ τρία ἠριθμημένον, πῶς ἂν ἀστασίαστον μένοι καὶ τὸ οἰκεῖον ἐς ἀεὶ διαφυλάξειεν εἶδος; ἡ γὰρ πρὸ τῆς τριάδας δυὰς αἰτία στάσεως. γρῖφος οὖν ὁ λόγος δοκεῖ καὶ αἰνιγματώδης, ὡς οἶμαι, εἴπερ τὸ μὲν εἰς δύο ἢ καὶ τρία ἠριθμημένον οὐ στασιάσει, τὸ δὲ ἓν κυρίως τυγχάνον ἓν προσδέξαιτο στάσιν, ὃ καὶ τὰ εἰς ἀριθμὸν πεσόντα δι' αὐτοῦ μετοχήν, ἔστ' ἂν αὐτοῦ μετέχῃ, ἀστασίαστα διατηρεῖ καὶ σώζει, ἐπὰν δὲ ἐκσταίη ταῦτα τουτουὶ στασιάσαντα, τὴν φθορὰν πάσχει καὶ τὴν ἀπὸ τοῦ ἑνὸς ἐκτροπήν.

8. Ἔστι μὲν οὖν, ὡς τοῖς πᾶσι θεολόγοις ἠκρίβωται καὶ καθὼς ἡμῖν προηγουμένως διασεσάφηται, τὸ πρῶτον ὄν. πᾶσι δὲ λέγω Χαλδαίοις, Αἰγυπτίοις, Ἰνδοῖς, αὐτοῖς Ἕλλησιν, ἁπαξαπλῶς τοῖς ὁπωσοῦν ἁψαμένοις θεολογίας καὶ βεβουλημένοις διαλεχθῆναι περὶ θεοῦ τοῦτο γοῦν τὸ ὂν καὶ δημιουργικὸν καθωμολόγηται αἴτιον. πάντα γοῦν ἐξ αὐτοῦ, τά τε ἄυλα εἴδη τά τε ἔνυλα. καὶ τὰ μὲν ἄυλα ἔγγιστά που τῆς αὐτῆς καθειστήκει φύσεως, εἰ καὶ κατὰ τὸν δημιουργικὸν λόγον ὡς ὅτι γε πορρωτάτω, τὰ δὲ μετέχοντα ὕλης δοκεῖ πως τούτου διῳκίσθαι, τῆς ἁπλότητος ἐκστάντα τῆς εἰδητικῆς καὶ διαπεπλασμένα

1 τι V τὸ M 4 ταύτης M 16 μένον em. μόνον VM τρίας M

συνθέσει· ἐξ ὕλης γὰρ καὶ εἴδους ὑπέστησαν. εἰ γοῦν ἐκ τοῦ πρώτου ὄντος ἀρξάμενός τις ἐξετάζειν τὰς τῶν ὄντων φύσεις κάτεισι περὶ τὰ κάτω, ὡς εἰς ἕτερον ἁπλούστερον ὂν καταντήσει, τὴν ὕλην. ὕλην δὲ λέγω οὐ τὴν προσεχῶς ὑποκειμένην τοῖς εἴδεσιν — αὕτη γὰρ εἴδους μετέχουσα εἰδοπεποιημένη ὕλη ὠνόμασται — ἀλλὰ τὴν αὐτοΰλην ὡς ἄν τις εἴποι, ἣ καὶ ἀμυδράν τινα ἔμφασιν ἔσχεν ὀντότητος. τοῦ γὰρ πρώτου ὄντος αὐτοείδους τυγχάνοντος καὶ δημιουργικὴν τῶν εἰδῶν αὐχοῦντος δύναμιν, αὐτοΰλη ἂν κυρίως ὀνομασθείη τὸ ἐξ ἐναντίας αὐτῷ ὑποκείμενον, μάλιστα τυγχάνον μὴ ὂν ἢ ὄν. ἀλλ' ἀποχαρίζεται καὶ ταύτῃ τὸ πρώτως ὂν τῇ ὑπερβλύσει τῆς οὐσιοποιοῦ δυνάμεως καὶ μικράν τινα ὀντότητος ἔμφασιν. τὸ γὰρ αὐτὸ μάλιστα τῷ εἴδει ἁρμόζει· αὐτοτρίγωνον γάρ φαμεν καὶ αὐτοάνθρωπον, ὅταν ἐκτὸς τῆς ὕλης θεωρῶμεν αὐτά.

Euseb. laud. C. 615. 636. 9. Ταύτην γοῦν τὴν ὕλην οἱ φυσικοὶ οὐσίαν ὑποτίθενται οὐχ ἥκιστα ἢ τὸ εἶδος, ὡς δεκτικὴν ἁπάντων εἰδῶν, καὶ πανδόχην αὐτὴν ὠνόμασαν διὰ τοῦτο καὶ μαινάδα πάλιν, ὡς ἀποπτυστικὴν εἰδῶν καὶ ἑτέρων προσληπτικήν, καὶ ἕτερ' ἄττα τοιαῦτα. οὕτως δὲ ἐν τῷ μὴ ὄντι μᾶλλον χαρακτηριζομένη ἢ τῷ ὄντι εἰκόνας ἔχει καὶ ἀμυδρὰς ἐμφάσεις τοῦ πρώτου ὄντος, ἐξ οὗ πᾶσα οὐσία κατ' ἐνέργειαν οὖσα καὶ κατὰ δύναμιν. καὶ τοῦτο εἰκότως· τὰ γὰρ ἐκ διαμέτρου πρὸς ἄλληλα κείμενα ἰνδάλματά τινα προβάλλουσιν ὁμοιότητος. ἀκατάληπτον νοΐ τὸ πρῶτον καθέστηκεν ὄν, ἀκατάληπτον τὸ ἔσχατον. ἀλλά τι μὲν τῶν ἐκείνου, εἴ τί που καί ἐστι καταληπτόν, οἰκείῳ καταλαμβάνεται λογισμῷ· ὂν γάρ ἐστι. τοῦτο δὲ τὸ ἔσχατον νόθον κατὰ τὸν ἐκ Σταγείρας φιλόσοφον· μὴ ὂν γὰρ ἐξ ἀποφάσεως τὸ πρῶτον ὁρίζεται διὰ τὸ μηδέν τι τυγχάνειν τῶν ὄντων· δημιουργικὸν γὰρ αἴτιον καὶ κρεῖττον αὐτῶν. ἐξ ἀποφάσεως ὁρίζεται καὶ τὸ ἔσχατον διὰ τὸ μηδὲν τυγχάνειν τῶν ὄντων, ἀλλὰ καὶ χεῖρον αὐτῶν. ἁπλούστατον τὸ πρῶτον, ἁπλούστατον καὶ τὸ ἔσχατον, εἰ καὶ τοῖς διαφόροις ποικίλλεται εἴδεσι. διὰ τοῦτο καί τινες τῶν παρ' Ἕλλησι

Plat. Tim. 52 B Tim. Locr. 94 B

---

7 ἀμοδράν M 12 οὐσοποιοῦ VM 16 ταύτην em. ταῦτα VM 23 ἰνδαλμάτινα VM 30 δημιουργικὸν 32 ὄντων om. M

θεολογησάντων συνάναρχον τὴν ὕλην τῷ δημιουργῷ ἐφαντάσθησαν, κακῶς εἰδότες καὶ ἀναξίως τῆς προκειμένης αὐτοῦ ὑποθέσεως. τῆς γὰρ ὕλης καὶ τὸ μὴ ὂν μᾶλλον γινωσκομένης ἡ ὀντοποιὸς καὶ παντουργὸς δύναμις καὶ τοῦ εἶναι ταύτην μετέχειν ποιεῖ καὶ ὑποκεῖσθαι τοῖς οὖσι καὶ γινομένοις. ποσὸν γὰρ προσλαβοῦσα κατεσκεύασε μέγεθος, μεταλαβοῦσα δὲ καὶ ποιοῦ σῶμα φυσικὸν ἀπετέλεσε.

10. *Ταύτην* τὴν ὕλην ἁπλούστατον τελοῦσαν ὂν στασιάζειν πρὸς ἑαυτὴν λέγουσι διὰ τὸ φιλεῖν ἀπὸ εἴδους εἰς εἶδος μεταπηδᾶν καὶ οὐ μᾶλλον πρὸς τοῦτο ἢ πρὸς ἐκεῖνο φιλίως ἔχουσαν. ἀκίνητος δὲ πάντη ἐστὶ καὶ ἀνενέργητος ἐξ ἐναντίας τῷ πρώτως ὄντι· ἐκείνου γὰρ μόνως ποιοῦντος αὕτη μόνως πάσχει, κἀκείνου μόνως κινοῦντος αὕτη μόνως κινεῖται. οὕτω γοῦν ταύτης ὑποκειμένης καὶ προσεχῶς τοῖς ποσοῖς καὶ ποιοῖς πασχούσης καὶ λαμβανούσης ὕπαρξιν, ἀκίνητα μὲν πάντη καὶ οὕτω τὰ ὑπὸ ταύτης τελεσιουργούμενα ἀναδείκνυται, ζωῆς δὲ τῆς ἐκεῖθεν καὶ πρώτης μοίρας ἐν αὐτῇ καταπτάσης προσεδέξατο κίνησιν εἴτουν αἴσθησιν καὶ τὴν κατὰ ταύτην ἐνέργειαν, καὶ ζῶον ᾠκονόμηται αἰσθανόμενον. προσεπιφοιτήσαντος δὲ ταύτῃ καὶ νοῦ, τὸ λογικὸν καὶ νοερὸν γεγένηται ζῶον, δι' οὗ καὶ τέχναι πεποίηνται, εἰκόνες τινὲς τῆς πρώτης οὐσίας καὶ δημιουργικῆς φύσεως. ἀνάγκη οὖν πᾶσα προηγουμένως μὲν καὶ κυρίως καὶ οὐ κατὰ μέθεξιν ἐν τῷ πρώτῳ ταῦτα τυγχάνειν ὄντι. ζωὴ γοῦν ἐκεῖσε καὶ νοῦς, ἵνα τῇ μὲν ζωῇ διαμένῃ τὸ ὂν ἀιδίως, τῷ δὲ νοῒ δημιουργῇ καὶ συνέχῃ τὰ ὄντα.

11. *Συνῆκται* γοῦν ἐκ τῶν εἰρημένων, ὡς τὸ πρώτως ὂν ἔνζων ὀφείλει εἶναι καὶ ἔννουν, ἐξ οὗ πᾶσα οὐσία καὶ ζωὴ καὶ νοῦς, τῇ μετοχῇ μᾶλλον ἢ τῷ εἴδει ὀνομαζόμενα. ἐκεῖνο γάρ ἐστι τὸ αὐτοὸν ἢ αὐτοζωὴ καὶ αὐτονοῦς, τὸ δὲ παρὰ τοῦτο ἅπαν μᾶλλον μὴ ὂν ἢ ὄν, ἐπεὶ ἦν, ὅτε οὐκ ἦν τὸ ὂν τῇδε συνοχῇ τούτου, καὶ μένει ὂν καὶ ζῇ καὶ νοεῖ. τόσον γὰρ μετέσχε ζωῆς ὅσον ἐκεῖνο παρέσχε, καὶ τοσοῦτον νοεῖ ὅσον ἐκεῖνο μετέδωκε, ζωὴ δὲ καὶ νοῦς ἐν τῷ ὄντι οὐχ

---

1 τῇ ὕλῃ VM **5** μετέχει V μετέχον M **16** οὕτω τὰ em. οὕττὰ VM **24** ὄντως M **25** ὂν V ἓν M **26** συνέχει VM **31** ἢ ὂν om. M **32** συνεχῇ M

ὡς ἔν τινι καθεστήκασιν. οὕτω μὲν οὖν καὶ διὰ ταῦτα τὸ πρώτως ὂν ζῶν καὶ νοοῦν τυγχάνον μένει καὶ ἀστασίαστον. πῶς γὰρ ἂν ἡ οὐσία πρὸς τὴν οἰκείαν ζωὴν στασιάσειεν ἣν προήγαγεν; ἢ πῶς αὕτη πρὸς ἐκείνην ἢ ὁ νοῦς πρὸς τὴν οἰκείαν οὐσίαν τε καὶ ζωὴν ἢ αὕτη πρὸς ταῦτα;

12. Ἐντεῦθεν ἓν ὂν ἁπλούστατόν τε καὶ ἡνωμένον τρία ἐστί, καὶ διὰ τοῦτο καὶ ἀστασίαστον, θαυμασίαν ἔχον τὴν ἕνωσιν καὶ θαυμασιωτέραν δὲ τὴν διαίρεσιν, ἢ ἄρρητον ταύτην καὶ ἀρρητοτέραν ἐκείνην. ἵνα δὲ καὶ ἐκ θειοτέρων γραφῶν τὰ λεγόμενα παραστήσωμεν, ὅτι ἔστιν ὁ ὤν, ὁ πατήρ, ἐξ οὗ ἡ ζωὴ καὶ ὁ νοῦς, μάρτυς ὁ φάσκων πρὸς τὸν Μωυσὴν ἐρωτῶντα, τί ἂν εἴη τούτου τὸ ὄνομα, ʽἐγώ εἰμι ὁ ὢνʼ εἰρηκώς. ὁ δὲ υἱὸς ζωή, ἐκ τοῦ ὄντος ἐνυπόστατος προϊὼν καὶ εἰς αὐτὸν ἐπιστρέφων. καὶ μαρτυρεῖ ἐν εὐαγγελίοις λέγων· ʽἐγώ εἰμι ἡ ζωήʼ. τὸ δὲ πνεῦμα νοῦς, τὸ παρὰ τοῦ ὄντος καὶ αὐτὸ προϊὸν ὡς ἐκ πηγαίας οὐσίας καὶ διὰ τῆς ζωῆς οὐσιωδῶς ἐμφαινόμενον καὶ ἐπιμένον ἐν αὐτῇ καὶ διὰ ταύτης πρὸς τὸ ἐξ οὗ ἐπιστρέφον, ἵνα ταῦτα εἶεν καὶ ἓν καὶ τρία. τοῦτο νοῦν τοῦ παντὸς Ἕλληνες, ἀμυδράν τινα γνῶσιν ἐξ αὐτοῦ λαβόντες, ὠνόμασαν. τοῦτο γάρ ἐστι τὸ τὰ πάντα διακοσμοῦν καὶ τοῖς πᾶσιν ἐμπλατυνόμενον μετὰ τῆς δημιουργικῆς δυνάμεως, τῆς οὐσιοποιοῦ καὶ ζωοποιοῦ, λεπτομέρειά τις τυγχάνον τῆς ὅλης (Cyrill. thes. 351.) φύσεως, ὃ καὶ ὀσμὴν τῆς θεότητος ἔφη τις τῶν θεολογησάντων τὰ θεῖά τε καὶ ἡμέτερα.

13. Ἤδη μὲν εἰκόσι λόγοις ἀποδέδεικται ὡς τὸ πρῶτον ὂν ἀνάγκη τρία εἶναι ἓν ὂν καὶ ἀστασίαστον διὰ τὸ μηδὲν τῶν τοιούτων ἔν τινι στασιάζειν τῶν εἰρημένων, σωστικῶν ὄντων ἀλλήλων καὶ διαμονῆς αἰτίων καὶ τῆς δημιουργικῆς αἰτίας συμπαραιτίων, τῆς ὕλης μὴ ἐχούσης τοῦτο δὴ τὸ ἀστασίαστον, ἁπλουστάτης καὶ ταύτης τελούσης καθ' οὓς εἰρήκαμεν λόγους. στασιάζει δὲ αὕτη διὰ τὸ μὴ μετέχειν

---

12 Exod. 3, 14. 15 Io. 14, 6.

---

1 τοῦτο M 18 τὸ em. τοῦ VM 19 καὶ ἓν καὶ ἓν VM
22 μετ' αὐτῆς M οὐσοποιοῦ VM 32 μετέσχει M

ζωῆς τε καὶ νοῦ, αὐτοΰλη οὖσα καὶ μακρὰν τῶν εἰδοποιούντων καθεστηκυῖα.

14. *Οὕτω μὲν ἡμῖν τὸ τοῦ θεολόγου πατρὸς ἀπόρημα λέλυται, πῶς τε τὸ ἓν στασιάζειν πέφυκε καὶ πῶς μεμένηκεν ἀστασίαστον. ἀλλ' ἐντεῦθεν οἷόν τι καὶ πόρισμα ἡμῖν ἐκ τῶν λελεγμένων εὑρέθη, ὡς τοῦ ἀνθρώπου τῇ παραβάσει τῆς ἐντολῆς κατακριθέντος τὸν θάνατον μὴ ἂν ἄλλο ἐκ τῶν τριῶν πεφυκέναι τοῦτον λαβεῖν ἐπὶ τῷ σῶσαι καὶ εἰς τὸ πρῶτον ἐπαναγαγεῖν ἀξίωμα, εἰ μὴ τὴν πρώτην ζωὴν εἴτουν τὴν αὐτοζωήν. ἐπεὶ γὰρ οὐκ ἀφάντησιν τῆς οὐσίας αὐτοῦ κατακέκριται οὔτε μὴν τὴν παντελῆ φθορὰν τοῦ νοός, τῆς ἀθανασίας δὲ ὑπέστη τὴν ἔκπτωσιν, ἔδει τὴν πρώτην ζωὴν τὸν τεθνηκότα φορέσαι, εἴ πως μεταστοιχειώσει πρὸς τὸ ἀθάνατον.*

15. *Μήποτε δὲ ἄρα καὶ τὸ δαιμόνιον φῦλον ἐντεῦθεν φαίνεται, μὴ πεφυκὸς ἀναδέξασθαι τὴν πρὸς τὴν πρώτην τάξιν ἐπάνοδον. πῶς γὰρ ἄν, εἰ ἦν πρὸς φύσεως τοῦτο, οὐ διαπέπρακται τῷ ἀγαθῷ δημιουργῷ, εἰς ἄκρον προνοουμένῳ τῶν οἰκείων δημιουργημάτων, καὶ τῷ εὐσπλάγχνως κινουμένῳ περὶ τὸ ἑκάστου ἀγαθὸν καὶ τὴν τούτου τελείωσιν; ἀλλὰ δὴ καὶ ἐπὶ τούτοις οὔτε οὐσία διέφθαρται εἰς τὸ μὴ ὂν προσχωρῆσαι οὔτε μὴν ἡ ζωή. εἰσὶ γὰρ καὶ ζῶσι κἂν οὐκ εὐδαίμονα τὴν ζωήν, ὁ νοῦς δὲ αὐτοῖς ἀνατέτραπται καὶ διέφθαρται καὶ οἷον εἰς ἕτερόν τι εἶδος προυχώρησεν· οὐ γὰρ ἀλλοίωσιν πέπονθεν ἀλλ' ἑτέραν τινὰ εἰδοποίησιν· ἔδει γὰρ τὴν ἀπὸ τοῦ νοῦ θεραπείαν σφίσι γενέσθαι. τοῦ πρώτου δὲ ἦν τοῦτο νοῦ, νοῦν δὲ νοῦν προσλαβεῖν τε καὶ διορθώσασθαι ἀμήχανον ἦν· ἄλλως τε καὶ ἀμερὲς ἀμερεῖ πῶς ἂν συνδεδραμήκει εἰς ἕνωσιν; διὰ ταῦτα ὡς οἶμαι ἡ τῶν δαιμόνων φύσις ἀπρόσληπτος μεμενήκει τῷ πρώτῳ νῷ καὶ διὰ τοῦτο καὶ ἀδιόρθωτος. ἔστω σοι καὶ τοῦτο ὡς ἕτερόν τι πόρισμα, ἐκ τῶν εἰρημένων ἀναφανέν.*

16. *Ἰδού σοι διασεσάφηται τὰ ἠπορημένα καθὼς ἦν ἡμῖν δυνατόν, τό τε ‘ἡ μονὰς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος*

---

7 *τῆς* scripsi *καὶ* VM 11 *πάντων* M 16 *ἀναδείξασθαι* M 18 *εἰς ἄκρω* VM 27 *νοῦς δὲ* M

ἔστη' καὶ τὸ 'ἔστιν ὅτε καὶ τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ πολλὰ γίνεσθαι'. ἡ γὰρ ὕλη ὡς ἀπεδείξαμεν ἓν οὖσα καὶ πάντη ἁπλούστατον στασιάζει πρὸς ἑαυτὴν τοῖς μεταπτώσεσι τῶν εἰδῶν, τὸ δὲ τοιοῦτον ἓν ὁποῖον εἰρήκαμεν ἀστασίαστον πάντη μένει καὶ ἀδιάρρηκτον, ὑπερηρμένον πάσης ἑνώσεως καὶ διαιρέσεως. οὐ γάρ ἐστιν ἕν, ἀλλ' ὑπὲρ τὸ ἓν καὶ διὰ τοῦτο τρία, οὐδὲ διαιρέσει τινὶ ὑποπίπτει, ὑπὲρ διαίρεσιν γάρ, καὶ διὰ τοῦτο ἕν. ὑπὲρ γὰρ ἕνωσιν τούτου ἡ ἕνωσις καὶ ὑπὲρ διαίρεσιν ἡ διαίρεσις, ὃ καὶ κρειττόνως ἄν τις ὀνομάσειε τὸ ὑπερηνωμένον καὶ ὑπερδιῃρημένον. ἐξ αὐτῆς γὰρ πᾶσα ἕνωσις καὶ πᾶσα διαίρεσις, ὡς ἐκ μεθεκτῶν μετεχόμενα, ὡς ἐξ οὐσίας παραγόμενά τε καὶ οὐσιούμενα διὰ τὴν ἄπειρον τούτου φύσιν τὴν γόνιμον καὶ τὴν οὐσιοποιὸν δύναμιν, τήν τε ζωοποιὸν ἐνέργειαν καὶ τὴν νοοποιὸν τελειότητα.

Γεωργίου τοῦ Ἀκροπολίτου λόγος εἰς τοὺς ἁγίους καὶ πανευφήμους μεγάλους ἀποστόλους Πέτρον καὶ Παῦλον. εὐλόγησον πάτερ: — Cod. Ath. 831 fol. 35r

1. *Οὐχ ἁπλοῦς μὲν ὁ παρὼν λόγος εἰ καὶ ἐξ ἁπλῆς προσφέρεται διαθέσεως· Πέτρος γὰρ καὶ Παῦλος εἰς εὐφημίαν προτίθενται. ἦν μὲν οὖν καὶ ἄλλως τὸ πρᾶγμα τῶν πάνυ δυσχερεστάτων καὶ μὴ ῥαδίως ἐξικνουμένων τῆς ἐγχειρήσεως, μὴ ὅτι γε ἡμῖν τοῖς χαμαὶ κειμένοις καὶ περὶ τὴν ὕλην ἰλυσπωμένοις καὶ τῷ βορβόρῳ τῶν παθῶν ἐγκαλινδουμένοις διηνεκῶς, ἀλλὰ καὶ τοῖς ἄγαν ὑψηλοῖς τὴν διάνοιαν, οἷς τὸ ἀπὸ γενέσεως διατέτμηται κάλυμμα, καὶ φῶς ὁρῶσιν ἐν τοῖς οὖσι τὸ καθαρώτατον· ʽἐφαπτέον γὰρ τῷ καθαρῷ καθαροῦʼ ἤκουσα παλαιοῦ τι|νος εἰρηκότος σοφοῦ. ἀλλʼ | οὕτω μὲν οὖν καὶ πᾶσιν ἁγίοις ἐξ ἁγίων χειλέων ὕμνος ἁρμόδιος, μάλιστα δὲ τῶν ἄλλων τοῖς κρείττοσι, καὶ ὅσῳ τῶν λοιπῶν τῷ βαθμῷ καὶ τῇ τάξει προφέρουσι, τοσούτῳ καὶ τοὺς εὐφημοῦντας τοὺς ἐν τοῖς ὁμοίοις ἀγωνίσμασιν ὑπερβάλλεσθαι ⟨δεῖ⟩ καὶ μέτροις ἴσοις ἀντιμετρεῖσθαι τοὺς ἐπαινέτας τε καὶ οἷς πεποίηται τὰ ἐγκώμια ἔν τε τῇ τοῦ λόγου δυνάμει καὶ τῇ ἐνεργείᾳ τῆς ἀρετῆς, ὡς μὴ μεῖζον ἢ κατὰ τὴν ἰσχὺν αὐτῶν ὑπεισέρχεσθαι στάδιον, μὴ ἀνῦσαι μέν, ὁρμῆσαι δὲ δρόμον ἢ τάφρον ὑπερπηδῆσαι, καὶ τὸν μὲν μεῖναι περὶ τὰ μέσα βαδίσαντα, τὸν δὲ κατὰ τοῦ ὀρύγματος κατενεχθέντα πτῶμα γενέσθαι τοῖς θεωμένοις γελώμενόν τε ἅμα καὶ ἐλεούμενον. ἔχω μὲν οὖν οὕτως αὐτὸς περὶ τῶν*

Plat. Phaed. 67 B

fol. 35v

1 *παρὸν* cod. 15 ⟨*δεῖ*⟩ addidi 19 *τάφρον* scripsi *τάφον* cod.

fol. 36r | τηλικούτων εἴ|τε ἀνδρῶν χρὴ λέγειν εἴτε πραγμάτων — ὥς ἐστι ταῦτα ἀλλήλοις συνδεδεμένα καὶ συναρτώμενα — οἶμαι δὲ καὶ πᾶς νοῦν ἔχων καὶ τὸ μεγαλεῖον τῶν τοιούτων συνεπιστάμενος. ἀλλὰ τί ἂν πάθῃ τις; ἐκεῖ μὲν ἕλκει φόβος εἰς σιωπήν, ἐντεῦθεν πόθος βιάζει πρὸς λαλιάν· ἐκεῖθεν τὸ ὀκνεῖν τε καὶ ἀναβάλλεσθαι διὰ τὸ τῆς ὑποθέσεως μέγεθος, ἐντεῦθεν τὸ εἰπεῖν τι διὰ σέβας πρὸς εὐφημίαν τῶν μαθητῶν τοῦ Χριστοῦ. εἰ γὰρ ὁ λόγος αὐτῶν εἰς πᾶσαν γῆν περιήχησε καὶ τῇ τῆς διδασκαλίας σαγήνῃ πάντας ἐντὸς περιέβαλε καὶ τῷ πρώτῳ διδασκάλῳ φίλην ἄγραν παρέστησε, πῶς οὐ χρεὼν πάντα λόγον εἰς αὐτοὺς ἀναφέρεσθαι πρὸς ἀντίδοσιν κἂν ἐξισῷτο τῷ μέτρῳ κἂν ὑστεροῖτο κἂν κάτω fol. 36v | βαίνοι πολύ; ἐπεὶ καὶ τῷ διδασκάλῳ τούτων καὶ | δεσπότῃ Χριστῷ φίλον πάντως τὸ κατὰ δύναμιν, ὃς καὶ χήρας δύο λεπτὰ τῶν πολυταλάντων ἐρανισμῶν προτετίμηκεν, εἰς ὃν καὶ τὰ τῶν μαθητῶν ἀναφέρεται, ὑπὲρ οὗ καὶ δι' ὃν ἠγωνίσαντο. τάχα δὲ καὶ εὐπρόσωπον ἂν εἴη μοι τὸ ἐγχείρημα οὐκ ἀμέσως τοῦ κρείττονος ἐφαπτόμενον· ἀλλ' ὥσπερ αὐτὸς διὰ τούτων τὸ εὐαγγέλιον εἰς τὸ τῆς γῆς ἐπλάτυνε πλήρωμα, διὰ μέσων πάλιν αὐτῶν προσλαμβάνει λόγους εἰς ἔπαινον. ἡ γὰρ τῶν μαθητῶν εὐφημία διαβαίνειν οἶδε πρὸς τὸν διδάσκαλον· καὶ γὰρ βασιλέα τις δεξιοῦται δωρήμασι καὶ τιμαῖς, τῶν ὑπ' ἐκείνου πεφιλημένων τινὰ δεξιούμενος. ὑπεισῄει δέ μοι καὶ ἕτερόν τι τῆς ὑποθέσεως ἄξιον πεῖθόν με πρὸς τὸν λόγον καὶ κατεπεῖγον πρὸς τὰ τῶν θεοκηρύκων fol. 37r | ἐγκώ|μια· ἔσται γάρ μοι ἡ μνήμη τούτων ὡς οἶμαι ἁγιασμὸς καὶ διανοίας καὶ γλώττης καὶ ἀκοῆς καὶ πάσης ἄλλης αἰσθήσεως, καὶ ὃ τάχα λόγος ἐκείνων ὁ διδασκαλικὸς οὐκ ἐνήργησε, λόγος ὁ τῶν ἐγκωμίων ἀνύσειεν, ἐκεῖσε διαβιβάζων τὸν λέγοντα καὶ συνάπτων πως τοῖς διδάσκουσι· καὶ ὃν οὐκ ἔσχεν ὁ ἐξ ἐκείνων συνδήσασθαι, πάντως ὁ πρὸς

---

8 Matth. 19. 9 Rom. 10, 18. 15 Marc. 12, 42.

---

7 τι] τί cod. 12 ἀντίδωσιν cod. pr. κἂν] καὶ cod. 15 πολυταλώντων cod. 18 ἐφαπτόμενος cod. 22 τίς cod. 29 ἐγκωνμίων cod. 30 πῶς cod.

ἐκείνους συνάψειε· καὶ γένοιτο ἂν καὶ οὕτω μυστηριώδης τελετὴ καὶ φιλουμένη τῷ κρείττονι.

2. *Ἀλλὰ τί περὶ τὰς ὑπωρείας βαδίζομεν; τί δὲ μὴ τοῦ ὄρους τῶν ἐγκωμίων ἐπιβαίνειν ἐπιχειροῦμεν; Πέτρος καὶ Παῦλος ἡμῖν εἰς εὐφημίαν προβέβληνται, οἱ κρείττους οὐχ ἁπλῶς ἀνθρώπων, ἀλλὰ καὶ ὅσοι τῶν ἀπ' αἰῶνος εὐηργετήκασι τῷ θεῷ, οἱ πρώτιστοι τῶν μαθητῶν τοῦ Χριστοῦ, οἱ τὰς κλήσεις μετὰ* | [fol. 37v] *τῶν πράξεων μεταλλάξαντες, οἱ τὰς κλεῖς τῆς τῶν οὐρανῶν βασιλείας βαστάζοντες, οἱ εἰς τρίτον ὑπεραρθέντες οὐρανόν, οἱ ἁρπαγέντες εἰς τὸν παράδεισον, οἱ θεμέλιοι τῆς ἐκκλησίας Χριστοῦ, οἱ πᾶσαν γῆν τῷ τοῦ Χριστοῦ περιειληφότες κηρύγματι, Πέτρος οὗτοι καὶ Παῦλος. φρίττω μὲν ὡς εἰκὸς καὶ δέδοικα τοῖς ἐγκωμίοις ἐπιβαλλόμενος, χαίρω δὲ καὶ ἀγαλλιῶμαι ταῖς κλήσεσι τούτων ἁγιαζόμενος, ἐκεῖνο τῆς ἀσθενείας, τοῦτο τῆς ἐλπίδος, ἐκεῖνο τῆς τόλμης, τοῦτο τῆς προθυμίας. οὐ τοσοῦτον γὰρ τὸ ἀσθενὲς συνεστάλη, ὅσον ἡ ἐλπὶς ἔνυξεν· οὐδὲ τοσοῦτον τὰ τῆς τόλμης ἐθράσυνεν, ὅσον ἡ προθυμία παρέπεισε.*

3. *Πέτρος ἡμῖν καὶ Παῦλος οἱ εὐφημούμενοι. ὢ θεῖον ζεῦγος καὶ ἱερὸν καὶ τῆς παγκοσμίου ἀρούρης ἄξιον καὶ τῇ Χριστοῦ ἁρμόδιον ἅλωνι,* | [fol. 38r] *ὢ ξυνωρὶς τιμία, ἐφ' ἧς Χριστὸς ἀναπέπαυται. πατρίδας μὲν γὰρ καὶ πατέρας Πέτρου καὶ Παύλου τίς ἂν ἐρεῖ; ἢ τίς ἂν ἐγκωμίοις παραβαλεῖ; ὡς γὰρ ὁ δεσπότης αὐτῶν καὶ διδάσκαλος τὴν ἐκ πατρίδων καὶ πατέρων τὸ καθ' ἡμᾶς προσειληφὼς οὐ καταδέχεται σύγκρισιν, οὕτω δὴ καὶ οἱ ἐκείνῳ ἀκολουθήσαντες καὶ ζηλώσαντες. πατρὶς μὲν γὰρ τῶν τοιούτων ἀνδρῶν ὁ παράδεισος, οὗ Πέτρος τὰς κλεῖς ἐγκεχείρισται καὶ εἰς ὃν ἀκήκοε. πατὴρ δὲ τούτων θεός, ὃς Πέτρον μὲν τῆς ἐκκλησίας αὐτοῦ θεμέλιον τέθεικε, Παῦλον δὲ σκεῦος ἐκλογῆς ἀπειργάσατο, καὶ θώκοις συγκαθεσθῆναί οἱ ἐν τῇ δευτέρᾳ παλιγγενεσίᾳ ἐπὶ*

---

8 Act. 13, 9. Marc. 3, 16. **8/9** Matth. 16, 19. **9** II. Cor. 12, 2. 4. **24** Matth. 12, 48. **28** Matth. 16, 18 sq. **29** II. Cor. 12, 4. **30** Act. 9, 15. **31** Matth. 19, 28.

---

3 *ὑπορρείας* cod. **17** *συνεστάλει* cod. **28** *καὶ εἰς ὃν* ⟨*ἡρπάγη Παῦλος καὶ ἄρρητα*⟩ *ἀκήκοε?* **30** *ἀπηργάσατο* cod. **31** *συγκαθεθεσθῆναι* cod.

τῇ τοῦ Ἰσραὴλ κρίσει ἀπισχυρίσατο. τοιαῦται μὲν αἱ πατρίδες τῷ Πέτρῳ καὶ τοιοῦτοι πατέρες τῷ Παύλῳ προσμεμαρτύρην- fol. 38 v | ται. τί γὰρ | ἂν ἔχῃ τις καὶ περιφανὲς εἰπεῖν ἁλιέως ἢ σκηνορράφου πατρίδος, εἴ γε περιφανῆ τὰ οὕτως εὐτελῆ καὶ χαμαίζηλα καὶ τοῖς εὖ φρονοῦσι πατούμενα, ὡς καὶ τοῖς πλείοσι διὰ Χριστὸν ἀπερρῖφθαι καὶ ὡς μηδὲν λελογίσθαι, οἷς τὸ προσκεκολλῆσθαι βλάβος ψυχῆς καὶ ὧν ἀποστῆναι θεῖον παράγγελμα ἀποκόπτον τῶν νόθων καὶ ἀποξενοῦν τῶν ἀλλοτρίων καὶ πρὸς τὸ συγγενὲς ἐπανάγον καὶ τὸ ὁμότιμον, ὅθεν ἐξ ἀρχῆς τῇ παραβάσει πεπτώκαμεν. πατρὶς μὲν γὰρ καὶ πᾶσιν ἀνθρώποις ἁπλῶς ὁ τερπνὸς ἐκεῖνος παράδεισος, ὁ ἅγιος τόπος, ὁ ἱερὸς κῆπος, ἡ ἀδιάβλητος τρυφή, τῶν ἀγγέλων τὸ οἴκημα, τῶν ἁγίων τὸ ἐνδιαίτημα, τὸ θεῖον ὄντως ἀνάκτορον, ὃ προῳκοδόμηται τοῦ βασιλέως, κατείρ- fol. 39 r | γασται δέ οἱ τὰ πάντα φιλοτι|μότερον. δένδρα ἐπὶ τούτῳ ἐπεφύκει πολυανθῆ, καρποὺς αὐχοῦντα ποικίλους τε καὶ πολυειδεῖς, εἰκόνας τῶν ὑπὲρ φύσιν εἰδῶν καὶ νοημάτων, οἷς καὶ σύμπας κατάλληλος συνάγεται ὁ παράδεισος· ἐν μέσῳ δὲ τούτων ξύλον ζωῆς εἴτε γνώσεως, οὗ καὶ ἡ τροφὴ πρὸς καιρὸν ἀπηγόρευται. ἐν τούτοις πέπλασται ἄνθρωπος δεσπότης τοῦ θείου χώρου καὶ βασιλεὺς καὶ τῷ αὐτεξουσίῳ τετίμηται. ἀλλ᾽ ἐπηρείᾳ σατανικῇ καὶ γυναικείᾳ πειθοῖ τοῦ ἀπηγορευμένου μετέλαβε καὶ ἐξόριστος τηνικαῦτα γεγένηται, τὴν φθορὰν τῆς ἀφθαρσίας ἀνταλλαξάμενος καὶ γῆν ἀντὶ παραδείσου καὶ τοῦ ἀπόνως ζῆν τὴν ἐπίπονον ἀνταμειψάμενος δίαιταν, καὶ τῶν θείων ἐκείνων φυτῶν καὶ καρπῶν fol. 39 v | ἀκάνθας καὶ τριβόλους ἀντιλαβών, καὶ | ἁπλῶς τῶν θείων καὶ τοῦ θεοῦ τὸν κόσμον ἀντικερδάνας καὶ κοσμοκράτορα. αὕτη τοῦ ἡμετέρου γένους ἡ ἐξορία, τοῦτο τῆς ἡμετέρας συμφορᾶς τὸ κεφάλαιον· διὰ ταῦτα ξένος ἐγὼ καὶ θρήνων ἄξιος ὁ τιμώμενος, καὶ ὁ φθονούμενος ἐλεούμενος, καὶ ὁ τῶν κάτω τῷ θείῳ ὑπεραιρόμενος ἐμφυσήματι, ὃ τῆς θείας καὶ νοερᾶς ψυχῆς ἡμῖν αἴτιον, κάτω νενευκὼς καὶ ὑπὸ γῆν

---

3 τίς cod. 4 σκηνοράφου cod. 5 εὐφρονοῦσι cod. 6 λελογεῖσθαι cod. 7 προσκεκολλεῖσθαι cod. 8 ἀποκόπτων cod. 9 ἐπαγάγον cod. 14 κατήργασται cod. 16 ποικίλλους cod. 17 νοήματα cod.

κεκυφώς. ὅθεν ἐμοὶ τὸ παχύτατον τοῦτο καὶ βαρύτατον ἔνδυμα καὶ ἡ κατάρα φιλάνθρωπος εἰς γῆν ἀποστρέψαι ἐξ ἧς ἐλήφθην, ἵνα μὴ ἀθανάτως συνάγωμαι τοῖς κακοῖς καὶ τῇ ἁμαρτίᾳ συμπεριφέρωμαι καὶ διὰ ταῦτα μαστίζωμαι, ἀλλ' εἰς τὴν πρώτην στοιχείωσιν ἀναλύσαιμι, ὡς ἐντεῦθεν συγκριθείην ἄμεινον καὶ μεταμειφθείην εἰς τὸ ἀθάνατον.

4. Ταύτης πολλοὶ τῆς πατρίδος μετεποιήθησαν καὶ πρὸ | fol. 40r τῆς προθεσμίας ἐπανελθεῖν ἐς ταύτην ἐφιλονείκησαν, προφῆται, δημαγωγοί, κριταί, βασιλεῖς, ἱερεῖς, ἄνδρες δίκαιοι, ἀλλ' οὔπω τοῦ καλοῦ τετυχήκασιν· ὁ γὰρ ἰὸς τοῦ δράκοντος ἐς τὸ γένος ἅπαν ἐφιλοχώρησε. καὶ ἐξὸν μὲν ἦν τὸ πολὺ ἀποβαλεῖν τοῦ ἰοῦ, οὔπω δὲ ἅπαν ἐξέμεσε τὸ δηλητήριον. διὰ ταῦτα εἰσῆκται νόμος καὶ προφητεία καὶ ὅσα τῆς παλαιᾶς διαθήκης καὶ τῶν παραπετασμάτων καὶ τῆς σκιᾶς, προκαθαίροντα καὶ προευτρεπίζοντα πρὸς ὑποδοχὴν τοῦ Χριστοῦ. διὰ ταῦτα βαπτίζεται νεφέλῃ ὁ Ἰσραὴλ καὶ πυρὸς ὁδηγεῖται στύλῳ, ἵνα προτυπωθῇ τὸ κατὰ Χριστὸν βάπτισμα, ὃ καθαίρει μὲν καὶ τῷ ὕδατι, ἀφανίζει δὲ καὶ τοῦ πνεύματος τῷ πυρὶ τοὺς εἰς βάθος ῥύπους ψυχῆς. ἐντεῦθεν ἡ καινὴ | διαθήκη, καὶ θεὸς ἄνθρωπος γίνεται ἐκ παρθένου | fol. 40v τὸ ἡμέτερον ἀναλαβόμενος φύραμα, καὶ ὁ ἀσώματος σωματοῦται καὶ ὑλοῦται ὁ ἄυλος· καὶ τέλος τοῦ μυστηρίου οὐ μόνον τὸ ἐκλυτρῶσαι τῆς καταδίκης τὸν ἄνθρωπον τοῖς ὁμοίοις ἀνακαθαῖρον τὰ ὅμοια, οὐδὲ πρὸς μόνον ἐπαναγαγεῖν τὸν παράδεισον ὅθεν τὸ πρῶτον ἐξώλισθεν, ἀλλὰ καὶ μεταδοῦναι θεώσεως, οὗ τῇ ἐφέσει παρὰ τοῦ ἀπατήσαντος πάλαι τῆς τρυφῆς ἐξωστράκισται. ἐντεῦθεν ἡ διδασκαλία Χριστοῦ καὶ ἡ τῶν παραπετασμάτων ἀνάπτυξις καὶ ἡ τοῦ ὀστρέου διάρρηξις καὶ τοῦ μαργαρίτου περίλαμψις καὶ τῶν κεκρυμμένων ἀπ' αἰῶνος μυστηρίων θεωρία τε καὶ φανέρωσις. ἐντεῦθεν ἀκολούθησις μαθητῶν, καὶ οἱ μὲν προλαμβάνουσιν οἱ δ' ἕπονται, | καὶ οὐ τῇ προλήψει τὸ μεγαλεῖον | fol. 41r αὐχοῦσιν ἀλλὰ τῷ μέτρῳ τῆς ἀγαπήσεως ἢ τῷ κανόνι τῆς

---

2 Genes. 3, 19. 16 Exod. 13, 21.

---

4 μαστίζομαι cod. 5 συγκριθείειν cod. 24 ἀνακαθαίρων cod.

διδασκαλικῆς δυνάμεώς τε καὶ ἕξεως τῶν ἄλλων προτιμῶνταί τε καὶ προκρίνονται· καὶ οἳ μὲν αὐτοψίαν αὐχοῦσι καὶ ἐξιστοροῦσι τὰ τοῦ Χριστοῦ, οἳ δὲ καὶ μὴ ἰδόντες τεθέανται καὶ τὸ μέγα μυστήριον κρειττόνως ἢ κατ' αἴσθησιν ἐκδιδάσκονται.

5. *Οὔτε γοῦν προϋπάντησις εἰς Χριστὸν οὔτε δὲ ὄψις ἔχουσί τι πλέον λαβεῖν, πίστις δὲ ἀκραιφνὴς καὶ ζῆλος ἄγαν ἀνόθευτος, ὧν οἱ εὐφημούμενοι μετεσχήκασι, ἐπεὶ πρὸ Πέτρου μὲν προσῆλθον ἄλλοι Χριστῷ, Παῦλος δὲ οὐδὲ ὅλως τοῦτον τεθέαται. ἀλλ' οὐ κεκώλυνται διὰ ταῦτα τοῦ πρῶτοι καὶ κρείττους τῶν προϋπαντησάντων καὶ τεθεαμένων Χριστὸν καὶ εἶναι παρὰ πᾶσι καὶ ὀνομάζεσθαι. τίς γὰρ εἰς* fol. 41 v | *πίστιν Πέ|τρου θερμότερος; τίς δὲ Παύλου πρὸς τὸ εὐαγγέλιον σπουδαιότερος; ὁ μὲν τῷ ζήλῳ τῆς εἰς Χριστὸν ἀγάπης νικᾷ, ὁ δὲ πάντας ὑπερβάλλει τοῖς λόγοις καὶ τοῖς διδάγμασι. τί μὲν Πέτρου καθαρώτερον γνώρισμα ⟨ἢ⟩ φιλία πρὸς τὸν υἱὸν τοῦ θεοῦ διακαὴς καὶ ὑπέρθερμος, δι' ἣν καὶ φιλεῖται μόνον ἁπλῶς, νομοθετεῖται δὲ καὶ τὰ εἰς διδασκαλίαν παντὸς τοῦ κόσμου πιστεύεται; τί δὲ Παύλου σύμβολον ἐναργέστερον ἢ κίνησις ἀκάθεκτος πρὸς τὸ κήρυγμα καὶ τὸ πάντα γίνεσθαι πᾶσιν, ἵνα κερδήσῃ πάντας ἢ πλείονας, δι' ἣν καὶ τῶν ἀρρητοτέρων μετέσχηκεν, ὡς μὴ μόνον ἔχοι τοῖς γνωρίμοις τοὺς διδασκομένους μεταποιεῖν, ἀλλὰ καὶ τοῖς θειοτέροις καὶ ξένοις μετατιθέναι πρὸς τὰ βελτίονα.*

6. *Τούτους ἀρτίως ἡμεῖς εἰς εὐφημίαν προθέμενοι βουλό-* fol. 42 r | *μεθα μὲν ἐπαινέσαι τοῖς λόγοις — οὐ δυ|νάμεθα δέ — οὐχ' ἵνα τι καὶ προσθῶμεν τούτοις εἰς ἔπαινον — ἀγαπητὸν γὰρ εἰ μὴ καὶ καταβάλλωμεν τῇ ἀδυναμίᾳ τῶν λόγων τοὺς κορυφαίους τῶν μαθητῶν — ἀλλ' ἵνα ἡμεῖς τῇ μνήμῃ τούτων σωτηρίας λόγους τοῖς ἐγκωμίοις ἐγκαταμίξαιμεν. ὁρῶμεν οὖν ἤδη ἄλλα ἐπ' ἄλλοις ἐπιφερόμενα κύματα ὡς ἐπὶ θαλάσσης ἀνέμῳ ῥιπιζομένης σφοδρῷ. καὶ ἐφ' ἑνὶ ταῦτα καὶ ἐργῶδες μέτρῳ περιλαβεῖν· πῶς δὲ καὶ τοῖν δυεῖν*

---

21 II. Cor. 12, 4.

---

16 ⟨*ἢ*⟩ addidi 25 *τούτοις* cod.

ἐφικοίμην; πῶς δὲ διακρῖναι δυνηθείην ἑκατέρου τὰ ἴδια, ὃ μόνον μέγιστον ἔργον καὶ τέχνης λογικῆς ὑπερκείμενον, ἐπεὶ μηδὲ κατὰ φύσιν αὐτοῖς τὸ πολίτευμα οὐδ᾽ ἐν τῇ γῇ καὶ τοῖς περὶ γῆν, ἀλλ᾽ ἐν τοῖς οὐρανοῖς καὶ τοῖς περὶ τὰ οὐράνια. Παῦλος ταῦτα φάσκει ὁ εὐφημούμενος, Πέτρος δὲ καὶ κατὰ κυμάτων πεζεύει, καὶ ἡ τούτου σκιὰ | τοὺς (fol. 42v) νοσοῦντας ἀνίστησι. καὶ τίς λόγον ἐκείνῳ πρὸς ἐγκώμιον ἐξισώσειεν; ἀλλ᾽ ὦ δυὰς σεβασμία, ἱλήκοις τοῖς λόγοις, συγκαταβαίης τῷ ἐγχειρήματι καὶ λόγον διδοίης πρὸς ἐργασίαν τοῦ λόγου μοι, παρὰ Χριστοῦ προσειληφυῖα τὴν δύναμιν καὶ πνεῦμα προσεφελκυσαμένη Χριστοῦ καὶ ἡμῖν χαρισαμένη πρὸς τὴν τῆς εὐφημίας συντέλειαν.

7. Πέτρος μὲν οὖν καὶ Παῦλος Χριστοῦ μαθηταί, καὶ τοῦτο κοινὸν ἀμφοῖν καθέστηκε χαρακτήρισμα. διαφέρετον γὰρ οὐ μικροῖς, οὐ μεγάλοις, φημὶ καὶ ταῖς εἰς Χριστὸν οἰκειώσεσιν, οὐδὲ τῷ πρῶτοι εἶναι ἢ τῷ ὑπερφέρειν παντός, ἀλλ᾽ ἰδιώμασί τισι μερικοῖς, δι᾽ ὧν τὴν τῶν ἀτόμων κατάληψιν ἔσχομεν· μετὰ γὰρ τὸ εἶναι ἢ σὺν τῷ εἶναι ταυτότης καὶ ἑτερότης ἐν τοῖς οὖσιν εὑρίσκεται. οὔτε γὰρ ἀπ᾽ ἀλλήλων τὰ ὄντα ἀπέσχισται οὔτε μὴν πάλιν εἰς ταυτὸν | συν- (fol. 43r) έσταλται τῇ κοινότητι· ἐκεῖνο μὲν γὰρ ὕλης, τοῦτο δὲ μόνον θεοῦ. εἰ γοῦν ἐν τοῖς οὖσιν ἁπλῶς ταυτότης ἐν κοινότητι τεθεώρηται, πολλῷ γε πλέον ἐν τοῖς ὁμογενέσιν ἢ ἐν τοῖς ὁμοειδέσι μάλιστά τε καὶ κυριώτατα· εἰ δὲ καὶ τὸν λόγον ἢ τὸν τρόπον ἰσάζοιντο, πλεῖστον ἂν εἴη ἐν αὐτοῖς τὸ ταυτόν. θεωρητέον οὖν κἀν τοῖς εὐφημουμένοις παρ᾽ ἡμῖν ἀρτίως τὴν ἑνοῦσαν πρῶτον τούτοις κοινότητα, τὴν εἰς ἓν ἐκείνους συνάπτουσαν καὶ συνάγουσαν εἰς συνάφειαν, εἴτ᾽ ἐκ συμβεβηκότων αὐτοῖς εἴτ᾽ ἐκ γνώμης ἐπεισιοῦσαν καὶ προαιρέσεως· εἶτα δὴ καὶ τὸ ἑτεροῖον σκοπήσωμεν.

8. Ἄμφω μὲν οὖν τὼ ἄνδρε τούτω καθὼς εἰρήκειν μαθηταὶ τοῦ Χριστοῦ· τούτου τί ἂν εἴη μακαριώτερον; καὶ ἄμφω ἠκολουθήκει τῷ εὐαγγελίῳ Χριστοῦ. τούτῳ τῷ ἔργῳ οὐδὲν

3 Philipp. 3, 20. 6 Matth. 14, 29. Act. 5, 15.

1 *δυνηθείειν* cod. 9 *λόγου* cod. 16 *τὸ* bis cod. 18 *σὺν τὸ* cod. 25 *ἰσάζοιτο* cod.

fol. 43 v | *ἂν εἴη κατάλληλον, οὐ πλοῦ | τος, οὐ δόξα, οὐκ εὐτυχία, οὐ βασιλείας ὕψος, οὐ θρόνων ἀγερωχία καὶ ἔπαρσις, οὐκ ἄλλο οὐδὲν τῶν οὐ μενόντων καὶ φθειρομένων. μαθητεύεταί τις Χριστῷ, καὶ τίς ἂν ἄλλος φανείη τούτου εὐδαιμονέστερος; διδάσκει τις Χριστοῦ τὰ μυστήρια, καὶ τίς αὐτοῦ μετεωρότερος καὶ ὑψηλότερος; εἰ γὰρ τὸν πρῶτον ἄνθρωπον κατέβαλεν ἔπαρσις καὶ ἡ τῆς θεώσεως ἔφεσις καὶ τοῦτον μακρὰν θεοῦ σκηνῶσαι πεποίηκε καὶ μήτι θεὸν γενέσθαι ἀλλ' οὐδὲ πλησιάζειν ὅλως θεῷ, τὸ μετὰ θεοῦ συμπεριπολεῖν καὶ συντυγχάνειν θεῷ καὶ λόγων ἀκροᾶσθαι θεοῦ καὶ ἐπαπολαύειν τούτου τῆς οἰκειώσεως ὅσῳ μέγιστον εἰς ἀξίαν καὶ τῆς τοῦ γένους εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως κρεῖττον καὶ τιμιώτερον. οὐ γὰρ ἀπολαμβάνουσιν οὗτοι παράδεισον οὐδὲ χωρίον τρυφῆς οὐδ' ἐφάπτονται τοῦ ἐν τῷ παραδείσῳ*
fol. 44 r | *ξύ|λου ζωῆς, ἀλλὰ θεῷ προσεγγίζουσι καὶ θεοὶ τῇ ἐγγύτητι γίνονται, ὡσεὶ τὰ διαφανῆ τῶν σωμάτων τὰ τῷ πυρὶ προσεγγίζοντα ἢ ἀέρος φύσις ἡλίου φωτὶ ἀνακεκραμένη καὶ ἀνταυγάζουσα. τοῦτο τὸ μέγα τῆς οἰκονομίας μυστήριον· διὰ ταῦτα σὰρξ ὁ θεός, ἵνα θεώσῃ τὴν σάρκα πάλαι φθαρεῖσαν τοῖς τοῦ σατὰν μηχανήμασι· διὰ τοῦτο ἐπὶ γῆς ἄνθρωπος ὁ θεός, ὅπως ἀναχωνεύσῃ τὸ κατ' εἰκόνα καὶ ἀποσμήξῃ τὴν ὕλην καὶ ἐπανάξῃ ταύτην εἰς τὴν ὁμοίωσιν. τίς νοῦς ἐφικέσθαι τοῦ τοιούτου μυστηρίου δυνήσεται; ποῖος λόγος ἐξαγγελεῖ τὸ μεγαλεῖον τοῦ πράγματος; ἐν τούτῳ σιγῶσιν ἄγγελοι, ἐν τούτῳ δεδοίκασι καὶ ἀρχάγγελοι, ἐν τούτῳ πᾶσα ἀρχὴ καὶ ἐξουσία καὶ κυριότης καὶ δύναμις καὶ αὐτὰ τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ σὺν τοῖς θρόνοις πεφρίκασι μὴ*
fol. 44 v | *δυνάμενα | συνορᾶν τοῦ μυστηρίου τὸ μέγεθος καὶ τοῦ δεσπότου τὴν καίνωσιν· ἄνθρωπος ταπεινὸς ὁ θεὸς καὶ πένης περιπολῶν καὶ εὐτελὴς καὶ ἀνέστιος καὶ οὐδὲ ὡς ἀλώπεκες μικροῦ τινος ἐπευμοιρῶν καλύμματος, ὑβριζόμενος ἐξουθενούμενος ῥαπιζόμενος διαβαλλόμενος, πάντα πάσχων ὑπὲρ ἁπάντων, ὀλίγους πάνυ ἔχων τοὺς ὀπηδοῦντας καὶ*

---

31 Matth. 8, 20.

---

9 *σὺν περιπολεῖν* cod. 12 *ἀπυκατάστεως* cod. 29 *κένωσιν* cod. 33 *ἀπηδοῦντας* cod.

τούτους οὐ τῶν περιφανῶν ἀλλὰ καὶ λίαν εὐτελεστέρων, οὐδὲ τῶν ἐνδοξοτάτων ἀλλὰ καὶ πάμπαν ἀτιμοτάτων. τί γὰρ ἁλιέως ἔχει τις εἰπεῖν ἀφανέστερον; τί δὲ τοῦ τὸ δίκτυα ῥάπτοντος ἀτιμότερον; οὐ πομπάζει γοῦν τῇ περιστροφῇ, ἵνα διδάξῃ τοὺς ἀνθρώπους ταπείνωσιν καὶ μὴ τοῖς ἐνδόξοις τοῦ κόσμου ἐναβρύνεσθαί τε καὶ ὑπεραίρεσθαι.

9. Ἀλλ' ἐπανάγωμεν τὸν λόγον εἰς τὸν οἰκεῖον εἱρμόν. Πέτρῳ μὲν καὶ Παύλῳ κοι|νὸν ἡ μαθητεία Χριστοῦ καὶ | fol. 45r ἡ διδασκαλία περὶ Χριστοῦ καὶ τὸ πάντα ἀπορρῖψαι τὰ ἑαυτῶν καὶ τὸ μηδὲν ἡγεῖσθαι τῶν ἐν βίῳ τερπνὸν καὶ δυνάμενον ἀποστῆσαι τοῦ ἐπαγγέλματος· ἀπόστολοι δὲ ἄμφω καὶ τοῦ κατὰ Χριστὸν μυστηρίου κήρυκες διαπρύσιοι, ἀμφότεροι τὸν κόσμον διδάσκοντες, ἀμφότεροι τῶν τοῦ σατὰν δεσμῶν τοὺς ἀνθρώπους ἐκλύοντες καὶ πρὸς τὴν κατὰ Χριστὸν ἐλευθερίαν εἰσφέροντες, ἀμφότεροι τῆς ἁλμυρᾶς τῷ ἀγκίστρῳ πάντας τῆς διδασκαλίας ἀνέλκοντες καὶ πρὸς τὴν ζωὴν ἐπανάγοντες, οἰκουμενικοὶ διδάσκαλοι καὶ ἀμφότεροι καὶ πᾶσαν γῆν τοῖς σφετέροις περιειληφότες διδάγμασιν, ὁμόφρονες ἀμφότεροι καὶ ὁμότροποι καὶ σκοπὸν ἕνα καὶ κοινὸν βούλημα ἔχοντες τὴν τῶν ἀνθρώπων σωτηρίαν καὶ τὴν εἰς τὸ ἀρχαῖον ἀξίωμα τῆς εἰκόνος ἐπά | νοδον· ἀμφό- | fol. 45v τεροι τεράστια ἐργαζόμενοι, χωλοὺς θεραπεύοντες, τυφλοὺς ὀμματοῦντες, νεκροὺς ἀνιστῶντες, δαίμονας ἐκβάλλοντες, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν τοῦ λαοῦ ἀφανίζοντες, πάντα γεγονότες τὰ πρὸ τοῦ νόμου, τὰ ἐν τῷ νόμῳ, τὰ μετὰ νόμον. ὡς Ἀδὰμ καὶ ἄμφω τὴν πρώτην πλάσιν εἰσδέχονται τὴν ὑψηλοτέραν τε καὶ μακαριωτέραν καὶ τετιμημένην ὄντως χερσὶ τοῦ θεοῦ, καὶ τοῦ παραδείσου μὲν οὐκ ἐκπίπτουσι τῇ παρακοῇ, εἰσάγονται δὲ ἐν αὐτῷ καὶ ἑτέρους συνεισάγουσι πρὸ τῆς κοινῆς ἀποκαταστάσεως. ⟨ὡς⟩ Ἄβελ γίνονται καὶ θυσίαν εἰσφέρουσιν εὐάρεστον. ὡς Ἐνὼς εἰς τὸν κύριον ἐπηλπίκασι· καὶ γὰρ καὶ ἠκολουθήκασι καὶ πάντα τούτῳ τὰ

---

30 Genes. 4, 4. **31** Genes. 4, 26. **32** I Petr. 5, 7.

---

3 τις cod. **6** ἐναμυρύνεσθαι cod. **10** τερπνῶν cod. **16** ἀγκύστρω cod. **30** ⟨ὡς⟩ addidi

fol. 46 r | *καϑ' ἑαυτοὺς ἀνῃρτήκασιν. ὡς Ἐνὼχ μετατιϑέμενοι καὶ* | *μεταβαίνοντες φαίνονται· ἐκ τῶν γηίνων εἰς τὰ οὐράνια, ἐκ τῶν προσκαίρων εἰς τὰ ἀϑάνατα, ἐκ τῶν κατὰ κόσμον εἰς τὸ κατὰ Χριστὸν εὐαγγέλιον. ὡς Νῶε πιστεύονται κιβωτὸν τὴν πάντα κόσμον τοῦ νοητοῦ ὑπεραίρουσαν κλύδωνος καὶ τῆς καταιγίδος αὐτὸν καὶ τοῦ καταποντισμοῦ διασώζουσαν. ὡς Ἀβραὰμ οὐκ ʽἐξέλϑετε μὲν ἐκ τῆς γῆς ὑμῶν καὶ ἐκ τῆς συγγενείας' ἀκούουσιν, ἀλλὰ ʽδεῦτε δὴ καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνϑρώπων' τῷ Χριστῷ προστάσσοντι πείϑονται καὶ δέχονται τὰ τοῦ λόγου ἄγκιστρά τε καὶ δίκτυα καὶ τοὺς ἐν τῷ βυϑῷ τῆς ἀπωλείας νηχομένους ἀνάγουσιν. ὡς Λὼτ ἐκφεύγουσι Σοδόμων τὸν ἐμπρησμὸν καὶ εἰς τὸ ὄρος ἀνέρχονται καὶ εἰς τοὐπίσω οὐ στρέφονται, ἵνα μὴ στήλη φανῶσιν ἁλὸς* fol. 46 v | *εἰ καὶ ἄλλως ἅλες ἐκλήϑησαν. ἐδιδάχϑησαν* | *γὰρ ὡς ʽοὐδεὶς τὴν χεῖρα αὐτοῦ βαλὼν εἰς ἄροτρον καὶ εἰς τοὐπίσω στραφεὶς εὔϑετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν'. ὡς Ἰσαὰκ σφαγιάζονται μέν, οὐ παρὰ τοῦ πατρὸς δέ, ἀλλὰ παρὰ τοῦ ἀντικειμένου καὶ τοῖς πατρικοῖς φϑονοῦντος διδάγμασι· πλὴν μετὰ τὴν σφαγὴν ζῶσι παρὰ μὲν ϑεῷ τὴν κρείττω ζωήν, παρὰ δ' ἀνϑρώποις ταῖς διδασκαλίαις τε καὶ τοῖς ϑαύμασι. γίνονται τῷ λόγῳ καὶ Ἰακὼβ καὶ ϑηρῶσι πρὸ τῶν ἄλλων τὴν εὐλογίαν, καὶ προχωροῦσιν εἰς αὔξην τῆς τοῦ ἁγίου ἔϑνους γενέσεως, καὶ ἀναβαίνουσι μὲν εἰς Αἴγυπτον, ἵνα τὰ ἐν τῇ Αἰγύπτῳ καὶ περὶ Αἴγυπτον καταλύσαιεν, ὑποστρέφουσι δὲ μετὰ πλήϑους εἰς τὴν ἐπηγγελμένην ἣν τοῖς πατράσιν ὤμοσε κύριος. ὡς Ἡσαΐας καὶ ʽΙερεμίας καὶ οἱ λοιποὶ οὐ προφητεύουσι μέν, ϑεωροῦσι δὲ* fol. 47 r | *τὸν προφητευόμενον* | *καὶ διδάσκουσι πάντας καὶ τὰ προφητῶν ἀναπτύσσουσιν. ὡς Σαμουὴλ καὶ πρὸ γενέσεως δοτοὶ τῷ ϑεῷ· ἐκ τῶν ποιμνίων ὡς ὁ Δαυὶδ προσλαμβάνονται*

1 Genes. 5, 24. 4 Genes. 6 sq. Marc. 4, 37 sq. Luc. 8, 23 sq. 7 Genes. 12, 1. 8 Luc. 5, 10. 11 Genes. 19. 14 Matth. 5, 13. 15 Luc. 9, 62. 17 Genes. 22. 21 Genes. 27. 22 Genes. 28, 14. 24 Genes. 46. 29 I. Samuel. 1, 11. 30 I. Samuel. 16, 11.

---

17 *σφραγιάζονται* cod. 25 *ἐπαγγελμένην* cod. 29 *ἀναπτύσουσιν* cod. *προγενέσεως* cod.

καὶ τοῦ Ἰσραὴλ βασιλεύουσι· κριταὶ γὰρ τούτου ἐν τῇ μελλούσῃ παρουσίᾳ καθίζουσι, ὃ καὶ τοῦ βασιλεύειν κρεῖττον καθέστηκεν. ὀρχοῦνται δὲ καὶ τῆς θείας ἔμπροσθεν κιβωτοῦ καὶ ᾄδουσι τοὺς ψαλμοὺς ἐν θειοτέροις καὶ ὑψηλοτέροις τοῖς μέλεσι. δέχονται σοφίαν παρὰ τῆς αὐτοσοφίας ὡς Σολομών, πλὴν οὐκ ἐν ὑστέροις αὐτὴν διαφθείρουσιν ἀλλὰ καὶ προβαίνουσι καὶ ἐπαύξουσι ταῖς νοεραῖς ἐπεκτάσεσιν.

10. Ἀλλὰ τί μὴ λέγω τὰ κρείττω καὶ τιμιώτερα; ἀμφότεροι πρὸς τὴν ἄνω Ἱερουσαλὴμ τὸν καινὸν ποδηγοῦσι λαόν, τὸν νέον Ἰσραήλ, ἐν στύλῳ πυρὸς καὶ νεφέλης ἐν θεωρίᾳ τῇ κρείττονι. ἀμφότεροι τὴν νοη | τὴν Αἴγυπτον βασανίζοντες | fol. 47 v ὡς Μωυσῆς καὶ Ἀαρὼν οἱ αὐτάδελφοι, [οἱ] ἀδελφοὶ καὶ οὗτοι οὐ τῇ φύσει ἀλλὰ τῇ πίστει γενόμενοι· ἀμφότεροι κατατροποῦνται τὸν Φαραὼ καὶ ἐξάγουσιν ἐκεῖθεν λαὸν περιούσιον· ἀμφότεροι τὴν τοῦ βίου διχάζουσι θάλασσαν καὶ διασώζουσι τοὺς πιστούς· ὕδωρ τὸ μὲν γλυκαίνουσι, τὸ δὲ μὴ τυγχάνον πηγάζουσι· βρέχουσι μάννα, βλύουσιν ὄρνιθας, ξένην τροφὴν καὶ οὐράνιον· σταυροῦ τύπῳ νικῶσι τὸν νοητὸν Ἀμαλήκ. πάντα γίνονται, πάντα κατορθοῦσι, πάντα διαπραττόμενοι τὰ παλαιὰ ἐκεῖνα τεράστια ἐν μυστικαῖς ταῖς ἐκβάσεσιν. ἀνέρχονται δὲ καὶ εἰς τὸ ὄρος, τὴν μεγάλην τῆς εὐσεβείας περιωπήν, καὶ τοῦ γνόφου ἐντὸς γίνονται, καὶ οὐδ᾽ ἐνταῦθα μικρὸν ἀποδιαστάντες ἀλλήλων οὔτε τῇ τάξει οὔτε τῇ δυνάμει τοῦ | πνεύματος, ἑκατέρου ἑκάτερος ἐφιέ- | fol. 48 μενος· καὶ δέχονται πλάκας οὐ λιθίνας μέν, πνευματικὰς δὲ καὶ ὑπερανῳκισμένας τῆς συντριβῆς· καὶ νομοθετοῦσιν οὐκ Ἰουδαίους μόνον ἀλλ᾽ ἔθνη πάντα καὶ γένη. καὶ ἐπιτηδευμάτων διαφορᾷ ἓν μόνον τῶν Μωσαϊκῶν ἐνηλλάξαντο ὡς διάφορον πρὸς ἐκεῖνον σχόντες τὴν τελευτήν· οὐ γὰρ ὡς Μωυσῆς εἰς ἣν ἐπείγοντο οὐ πεφθάκασι, ἀλλὰ καὶ εἶδον

---

1 Matth. 19, 28. Luc. 22, 30. 3 II. Samuel. 6, 14. 5 I. Reg. 3, 12. 10 Exod. 13, 21. 12 Exod. 7—10. 14 Exod. 14. 16 Exod. 15, 25. 17 Exod. 17. 18 Exod. 16. 19 Exod. 17. 21 Exod. 19. 24. 25 Exod. 31, 18.

---

7 ἐπενκτάσεσιν cod. 12 ἀαρὼμ cod. 25 δὲ ex μὲν pr. m. cod. 28 ἐνηλάξαντο cod.

ταύτην καὶ ἔγνωσαν καὶ ἐθεάσαντο καὶ τοὺς ἀκολουθήσαντας εἰσῆξαν χειραγωγήσαντες. καὶ οὐ τὸ νοητὸν σφίσι μόνον τέλος παρόμοιον, ἀλλὰ καὶ τὸ αἰσθητὸν καὶ φαινόμενον· ἐν Ῥώμῃ γὰρ καὶ ἄμφω τὸ τοῦ μαρτυρίου διανύουσι στάδιον, Νέρωνι φονευθέντες, στερρῶς καὶ ὡς οὐκ ἄλλως ἐχρῆν ὑπὲρ τῆς εὐσεβείας ἀγωνιζόμενοι. ταῦτα κοινὰ τοῖν δυοῖν· κοινὸν fol. 48v | γὰρ τού | τοις καὶ τὸ μυστήριον, κοινὸν Χριστοῦ τὸ παράγγελμα, κοινὸν Χριστοῦ καὶ τὸ κύρυγμα καὶ τὸ τῆς τῶν ἀνθρώπων σωτηρίας κεφάλαιον· ἐν Πέτρῳ γοῦν τὸν Παῦλον νοῶ καὶ Πέτρον ἐν τῷ Παύλῳ συνθεωρῶ.

11. Βούλομαι μὲν οὖν διαχωρίσαι τούτους καὶ τὰ αὐτοῖς ἰδίως ὑπάρχοντα ἐπισκέψασθαι. ἀλλὰ τοὺς συνηνωμένους ἐν πνεύματι πῶς ἂν ἔχοι τις διασπάσασθαι; καὶ γὰρ ὁ Πέτρον [τις] εἰρηκὼς καὶ Παῦλον ἐπιφέρει εὐθύς, ὁ δὲ Παύλου μνησθεὶς οὐκέτι ἔχει μὴ καὶ Πέτρον συνεννοούμενον. δέδοικα γοῦν μὴ οὐ φιλητὸν τοῦτο τοῖν θειοτάτοιν ἀνδροῖν, δέδοικα μὴ παραζηλώσωσι τὸ ἐγχείρημα καὶ ἀποδοκιμάσωσί μου τὸ βούλημα. ἀλλά μοι δὴ τῷ λόγῳ, Πέτρε καὶ Παῦλε, συγγνοίητε· οὐ γὰρ ἄλλως παραστῆσαι δυναίμην τοὺς ἑκα- fol. 49r | τέρῳ προσόντας χαρακτῆρας τοῖς ἀκροάμοσιν.

12. Ἀλλ' ὦ θειότατε Πέτρε — ἀπὸ σοῦ γὰρ λέγειν ἀπάρξομαι, ἐπεὶ καὶ πρῶτος προσελήφθης Χριστῷ, θεὸν ἐπικαλεσάμενος φανῆναί μοι τοῦ λόγου συλλήπτορα, ὃν ἐπόθησας, ᾧ κεκληκότι παρευθὺς ἠκολούθησας, ὑπὲρ οὗ σὺ καὶ τέθεικας τὴν ψυχήν. ἀκούοιτέ μοι τῶν λεγομένων ὅσοι προκύπτειν εἰς βάθη λόγων ἐπίστασθε. θεός ἐστι μὲν τῶν ὄντων ἀκρότης οὐχ ὡς συνημμένη ἀλλ' ὡς ὑπερῃρμένη ἄγαν αὐτῶν, οὐ μέτρῳ τινὶ διαστήματος ἀλλ' ἀμετρίᾳ καὶ τόπου καὶ φύσεως, ἄγνωστος πάντη καὶ ἀκατάληπτος, οὔθ' ὑφ' ἑαυτῆς οὔθ' ὑφ' ἑτέρου γεγενημένη. τὸ γὰρ ὑπό του γενόμενον οὐ θεός· κρείττων γὰρ ἐκείνου ἡ ὀντοποιὸς φανήσεται δύναμις. ἀλλ' οὔτε μὴ ὄν τι πρότερον εἶθ' ὑφ' ἑαυτοῦ τὸ εἶναι λαμβάνει· ὅθεν καὶ

22 Matth. 10, 2.

13 τίς cod. 19 συγγνοίητε cod. 24 σοὶ η ead. m. 29 γεγονοιμένη cod.

γὰρ εἰς τοῦτο προ | ῆλθε καὶ οἵαις δυνάμεσι, ἐκεῖθεν τὴν | fol. 49v ὕπαρξιν ἔσχηκεν, εἰ μὲν οἰκείαις, ἔστι τι πρότερον ὑφιστάμενον, ἐν ᾧ τὰ τῶν δυνάμεων ἑδρασθήσεται, εἰ δ' ἀλλοτρίαις, ἔστι τι προϋπάρχον ἐκείνου καὶ φυσικῶς προτιμώμενον. οὔτε γοῦν ὑφ' ἑαυτοῦ λαμβάνει τὸ εἶναι οὔθ' ὑφ' ἑτέρου θεός, ἐστὶ δὲ τῶν ἁπάντων δημιουργὸς εἴτε νοερῶν καὶ ἀΰλων εἴτε ὑλικῶν καὶ ὁρωμένων. οὐ γὰρ τῷ δημιουργῷ κατ' οὐσίαν τὰ δημιουργήματα συνυφίσταται εἰ μὴ ἄρα δὴ κατ' αἰτίαν, οὐδ' ἄναρχα τυγχάνει καὶ ἄχρονα, αἴτιον αὐχοῦντα θεὸν καὶ ἐς ὕστερον οὐσιωθέντα καὶ χρόνον λαβόντα μέτρον κινήσεως. θεὸς οὖν ἐστιν ὡς ἔφην ἡ πάντων ἀρχή, ὃς πρῶτον τὰς ἀΰλους οὐσίας δεδημιούργηκε καὶ τὸν νοητὸν διάκοσμον ἐκ τοῦ μὴ ὄντος παρήγαγεν· ἔδει γὰρ τὰ τῆς | fol. 50r πρώτης δημιουργίας ἐγγυτέρω εἶναι τῆς τοῦ δημιουργήματος φύσεως. καὶ φῶτα δεύτερα τούτους ἐργάζεται, λειτουργικὰ πνεύματα πρὸς διακονίαν ἀποστελλόμενα. ὅτι δὲ ἐξ οὐκ ὄντων ἔσχον τὴν ὕπαρξιν, οὐκ ἦν αὐτοὺς ἀμεταπτώτους μένειν ἐν οἷς καὶ τετάχαται· μόνον γὰρ τὸ ἄκτιστον ἄτρεπτον. ἐντεῦθεν ἐν τούτοις ὑπεραίρεταί τις μετάρσιος καὶ τῷ δεσπότῃ παρισωθῆναι τῇ ἀξίᾳ βεβούληται καὶ πτῶμα πίπτει ἐλεεινὸν καὶ τὴν ὑποστροφὴν μὴ δεχόμενον. εἰς γὰρ βάθος τὸ δαιμόνιον φῦλον προσλαμβάνειν πέφυκε τὴν ἀλλοίωσιν καὶ δι' ὅλου τὸ εἶδος μεταστοιχειοῦται καὶ μεταβάλλεται· οὔκ ἐστι γοῦν ἐξὸν ὅπερ προσείληφεν ἀπονήψασθαι. σὺν αὐτῷ δὲ καὶ ἕτεραι δυνάμεις ἐκπίπτουσι καὶ πρὸς κακίαν ἐξολισθαίνουσι, ἐθελον | ταὶ ἐπιμύσασαι δυνάμεις τούτων | fol. 50v τὰς ὀπτικάς. οὕτω μὲν δὴ τὰ τοῦ πρώτου κόσμου καὶ νοητοῦ.

13. *Πάλιν* οὖν ἕτερος κόσμος τῷ δημιουργῷ τεθεώρηται. ὃ δέ ἐστιν οὐρανὸς καὶ γῆ καὶ τὰ ἐν τούτοις ἢ καὶ ἐκ τούτων λαβόντα τὴν ὕπαρξιν, ἥ τε τῶν ἀλόγων ζώων φύσις πεζή τε καὶ ἔνυδρος καὶ πτηνὴ καὶ φυτῶν γένος πολυειδῶν, οἷς ἐναγλαΐζεται τὸ κύτος ἅπαν τῆς γῆς, τἆλλα τε πάντα ὁπόσα τὴν αἴσθησιν οὐκ ἠγνόησεν. αἰσθητὸς μὲν οὖν καὶ νοητὸς κόσμος καὶ θέσει καὶ φύσει ἀπ' ἀλλήλων

---

10 ἐσύστρεον cod. 13 ὄντως cod. 22 πρὸς λαμβάνειν

διίστατο, οὔτ' ἐκείνων αἴσθησιν ἐχόντων τῶν κάτωθεν οὔτε τούτων νοεῖν τι δυναμένων τῶν ὑπερέκεινα. διὰ ταῦτα μῖξιν ἐννοεῖ θαυμασιωτέραν θεός, καὶ συνάγει νοῦν πρὸς τὴν αἴσθησιν καὶ διαπλάττει τὸν ἄνθρωπον, ἐξ ὕλης μὲν τὸ fol. 51r | *σῶμα λαβών, ἐμφυ* | *σήματι δὲ θείῳ τὴν νοερὰν δημιουργήσας ψυχήν. καὶ ζῶον διπλοῦν ἐπὶ γῆς αὐτὸν τίθησιν θνητὸν καὶ ἀθάνατον, ὑψηλὸν καὶ χαμαίζηλον, θεῷ καὶ θείοις συνόντα καὶ τῶν αἰσθητῶν γε μὴ ἀφιστάμενον, θεωρὸν τῶν ἄνω καὶ τῶν κάτω ἐξεταστήν, μέσον τῆς ἀλόγου καὶ τῆς καθαρᾶς λογικῆς φύσεως. καὶ παράδεισον αὐτῷ φυτεύει κατὰ ἀνατολάς, χωρίον ἐξαίρετον καὶ τῷ πρώτῳ ἀνθρώπῳ ἐμπρέποντα χερσὶ διαπεπλασμένῳ τοῦ κρείττονος, καὶ τίθεται τούτῳ κλῆσις τῶν τῆς γῆς περάτων συνεκτική, καὶ ὑποτάσσεται τούτῳ τὰ πάντα, καί οἱ γινώσκονται φύσεις τῷ καθαρῷ τῆς νοήσεως. ἐπεὶ δὲ ἔδει καὶ βοηθὸν αὐτῷ γενέσθαι μὴ ἑτεροούσιον, ἐμβάλλει θεὸς ὕπνον αὐτῷ καὶ* fol. 51v | *τέμνει πλευρὰν καὶ ἐκπληροῖ τὴν γυναῖκα· καὶ τοῦ ὕ* | *πνου ἐγείρεται ὁ ἀνὴρ καὶ θαυμάζει τὸ ὅμοιον καὶ ἀποδέχεται τὸ ὁμόζυγον καὶ τὸ θῆλυ εἰς ὁμοφροσύνην ἀσπάζεται.*

14. *Ἀλλ' ὁ τοῦ πεσόντος ἐξ ἐπάρσεως φθόνος εἰς ἔννοιαν ἐμβάλλει τούτους θεότητος· οἷς γὰρ οἶδεν οὗτος ἁλούς, τούτοις θηρεῦσαι καὶ τὸν πρῶτον ἔγνωκεν ἄνθρωπον. τί δὴ πρὸς λεπτὸν ἐκτραγῳδοίην τὴν συμφορὰν πολλοῖς τε καὶ πολλάκις καὶ ἡμῖν οὐκ ὀλιγάκις ἐκθρηνηθεῖσαν; ἅπτονται καὶ ἄμφω τοῦ ἀπαγορευομένου φυτοῦ, ἐκβάλλονται παρευθὺ καὶ τοῦ παραδείσου καὶ τοῦ θεοῦ καὶ ἀσχημονοῦσι γυμνοί, φύλλοις συκῆς δὲ τῆς καὶ ἐς ὕστερον ὡς ἀκάρπου παρὰ τοῦ δεσπότου κεκατηραμένης καλύπτονται. καὶ τὸ κατάκριμα οἷον πάντες οἴδατε κἂν ἐγὼ σιωπήσαιμι, ἡ κατὰ τὸν βίον τοῦτον* fol. 52r | *πολυαχθεστάτη καὶ βαρυτάτη τληπάθεια καὶ* | *τέλος εἰς γῆν ἀποστρέψαι, ἐξ ἧς τὸ πρῶτον ἐλήφθημεν· ἐπειδὴ γὰρ οὐ μεμενήκαμεν ἐν οἷς καὶ πεπλάσμεθα, τὴν συντριβὴν ὡς*

---

5 Gen. 2, 7. 10 Gen. 2, 8. 15 sq. Gen. 2, 20 sq. 27 Matth. 21, 19.

---

1 *ἐκείνω* cod. 2 *τί* cod. 12 *ἐμπρέποντι* cod. 17 *τέμνη* cod. *ἐκπληρεῖ* cod. 25 *ἀπαγορευμένου* cod.

εἰκὸς καταδεδικάσμεθα. καὶ ὁ σκοπὸς θεῖός τε καὶ ὀνήσιμος, εἰς δευτέραν ἄγων ζωὴν τιμιωτέραν καὶ κρείττονα. ἀλλ' οὔπω ἦν οὕτως εὐχερῶς τὴν τοῦ γένους λυθῆναι κατάραν οὐδὲ διὰ μικροῦ τὴν φύσιν ἀλλοιωθῆναι πρὸς τὸ χρηστότερον, διὰ βάθους δεξαμένην τὴν τῆς κατάρας χρωμάτισιν, οὐδ' ἀναχθῆναι ῥᾷον, εἰς βάθος μέγα τῆς ἁμαρτίας ἐγκύψασαν. οὔτε οὖν πρὸς τῆς φύσεως τοῦ πράγματος ἦν· πῶς γὰρ αὐτὸς ἑαυτῷ τὴν θεραπείαν εἶχεν ἐπενεγκεῖν; ἀλλ' οὔτ' ἀγγέλοις ἦν δυνατὸν οἷς ἀγαπητόν, ἂν μὴ καὶ αὐτοὶ μετατρέποιντο, ἔργον ἀδιάκοπον ἔχουσιν ἀνανεύειν εἰς τὴν λαμπρότητα, ἐξ ἧς τὴν φαῦσιν λαμ | βάνουσι καὶ τὴν | fol. 52v
στάσιν αὐχοῦσιν ἀμετακίνητον. λείπεται γοῦν θεοῦ τυγχάνειν τοῦτο ἐνέργημα, ὃ δὴ καλῶς ποιοῦν καὶ γεγένηται· οὔτε γὰρ ἄγγελος οὔτε μὴν ἄνθρωπος ἀλλ' αὐτὸς ὁ δημιουργὸς ἐμὲ τὸν ἁμαρτήσαντα σέσωκε.

15. Ταῦτα μὲν ἅπας οἶδε πιστός, καὶ τάχα ἂν εἴποιεν ἐπιμεμφόμενοι οἱ ἀκροάμονες· 'εἰς τί σοι ταῦτα τὰ λόγια; ἄλλην γοῦν τρέχων ἄλλην ἐβάδισας, καὶ Πέτρον ἐπαινέσαι καὶ Παῦλον τοὺς ἀποστόλους προθέμενος πρὸς θεολογίαν καὶ κόσμου γένεσιν μετελήλυθας· καὶ τίς ὁ λόγος; τίς δὲ ὁ σκοπός'; αὐτὸς ὑμῖν, ὦ φίλοι ἀκροαταί, παραστήσαιμι· οὐ γὰρ οὕτως περιττολόγος ἐγὼ καὶ ἀδολεσχῶν ἐν τοῖς ῥήμασιν, ὥστε πάνυ ἔξω φέρεσθαι τῆς προθέσεως. ἀλλ' ἄγε σκοπεῖτε, ὡς λίαν μοι συνῳδὰ τὰ λεγόμενα καὶ πάνυ γε | ἡρμοσ- | fol. 53r
μένα καὶ συναρτώμενα. οἶδα διττὰς δυνάμεις ἐπὶ θεοῦ, τὰς τῆς θεωρίας λέγω καὶ πράξεως. θεωρεῖ μὲν γὰρ θεός, ὡς ἔστι θεωρεῖν τὸν θεόν, ἐννοῶν τὰς φύσεις ἃς διαπλάττεται· πράττει δὲ θεὸς εἰς ἔργον διαβιβάζων τούτου τὸ νόημα. εἰκότως γοῦν καὶ ὁ κατ' εἰκόνα τούτου γεγενημένος τοῖς τοιούτοις εἰκονισθήσεται ἰδιώμασιν· ἄνθρωπος δὲ κατ' εἰκόνα τούτου δεδημιούργηται, καὶ ὁ λόγος συνάγει τοῖς τοιούτοις πρέπον εἶναι τοῦτον σεμνύνεσθαι. ἔστι δὲ ἀντιστρόφως περὶ τὸ θεῖον ταῦτα καὶ τὸ ἀνθρώπινον· ἐπὶ μὲν γὰρ θεοῦ προτέρα πάντως ἡ θεωρία τῆς πράξεως, ἐπ' ἀνθρώπων δὲ προτέραν τῆς ὡς ἀληθῶς θεωρίας τὴν πρᾶξιν

---

10 μετατρέποιτο cod. **22** ἀδελεσχὼν cod.

εἶναι συμβέβηκε· θεοῦ μὲν γὰρ εἶναι κατιέναι μικρὸν τῆς fol. 53v | *οἰκείας περιωπῆς, ἀνθρώπου δὲ πρὸς αὐτὸν ἀνι | έναι διὰ τῆς πράξεως καὶ ἐπαπολαύειν τῆς θείας ἐκείνης μακαρίας ἐλλάμψεως. ὡς γοῦν ὁ πρῶτος ἄνθρωπος γέγονε, δίδοται τούτῳ καὶ ἐντολή, ὡς ἂν τῇ ἀρίστῃ ταύτῃ πράξει ἐγγυμνασθείη κἀντεῦθεν προσέλθῃ τῷ ξύλῳ τῆς ζωῆς γνώσεως καὶ εἶθ' ἑξῆς καὶ τοῦ τῆς ζωῆς ἐμφορηθείη φυτοῦ. ἀλλὰ τῷ πρώτῳ ταῦτα διέφθαρται, καὶ πρᾶξις αὐτῷ καὶ θεωρία συγκαταλέλυται. δεύτερος οὖν διὰ ταῦτα κόσμος καὶ ἄλλη τις βιοτή, καὶ πρῶτος ἐν ταύτῃ ἕτερος ἄνθρωπος καὶ νέος Ἀδὰμ ὁ θεὸς καὶ ἡ τῆς εἰκόνος ἡμῶν ἀνακαίνισις. ὡς γοῦν τὴν παραφθαρεῖσαν εἰκόνα τοῦ πρώτου Ἀδὰμ ἐφορέσαμεν τὴν ἐκ χοὸς παρυποστᾶσαν καὶ τοῦ συγκράματος, οὕτω δὴ καὶ τοῦ δευτέρου καὶ πρωτοτόκου ἐν πολλοῖς ἀνα-* fol. 54r | *φανέντος τοῖς ἀδελφοῖς ἐνδεδύμεθα τὴν | νοερὰν καὶ ἀνώλεθρον.*

16. *Αὕτη δὲ ἡ εἰκὼν διὰ πράξεως ἡμῖν καὶ θεωρίας ὑψηλῆς ἐπιγίνεται, ὧν τύπους εἰς διδασκαλίαν Πέτρον καὶ Παῦλον τέθεικεν ὁ Χριστός — εἰς τοιοῦτον γὰρ ὁ λόγος ἡμᾶς κατήντηκε νόημα — ὧν πράξει μὲν Πέτρος ἐκ τῶν λόγων ἐξισωθήσεται, Παῦλος δὲ τῇ θεωρίᾳ ὁμοιωθήσεται, δι' ὧν ἢ παρ' ὧν σύμπας ἄνθρωπος εἰς Χριστὸν ἀναχθήσεται, Πέτρος καὶ Παῦλος κατ' ἶσον φανείς, ἢ μᾶλλον Πέτρος, ἧττον δὲ Παῦλος γενόμενος ἢ ἐναλλάξ, πάντως δὲ ὁ βεβουλημένος ἐκεῖσε ἰέναι μὴ ἀντικλώμενος, ὡς μὴ ἂν ἄλλως εἶναι εἰ μὴ διὰ τούτων τῶν ὁμοιωμάτων Χριστῷ προσεγγίσαι καὶ μαθητευθῆναι τῷ λόγῳ καὶ σύμμορφον γεγενῆσθαι καὶ τῷ πάθει τούτου καὶ τῇ λαμπρότητι. εἰς τοιαύτην ἡμᾶς ὁ λόγος τὴν θεωρίαν ἀνήγαγε καὶ πρακτικῆς ἐπιστήμης εἰκόνα* fol. 54v | *Πέτρον | εἴτε προαγωνιστὴν εἴτε διδάσκαλον προύθετο. Πέτρος ἁλιεὺς καὶ τρίβων ἄγρας ἰχθυηρᾶς καὶ δίκτυα πλέκει καὶ ἰθύνει κάλαμον καὶ ἄγκιστρον ἐπιβάλλει καὶ χαλᾷ ὁρμιὰν καὶ ἐπιφέρει τὸ δέλεαρ καὶ τοῖς τεχνικοῖς πρακτικεύεται. Παῦλος δέ — εἰ γὰρ καὶ προέφην τούτους χωρίσαι ἢ κατ'*

---

10 sq. Rom. 5, 12 sq.

4 *ἐλάμψεως* cod. 5 *ἀρίστῳ* cod. 6 *προσέλθοι?*

ἰδίαν τὰ αὐτῶν ἐπισκέψασθαι, ἀλλ' οὐ πάμπαν διὰ μακροῦ διαρρῆξαι τούτους βεβούλημαι ἀλλ' ἐπισυνάπτειν ὡς ἔνεστιν, ὅτι μηδὲ ζωγράφος τὸ τοιοῦτον ἂν τετόλμηκεν ἐν σκιαῖς — Παῦλος γοῦν γραμμάτων ἔμπειρος καὶ Φαρισσαίοις συγκαταλέγεται καὶ νόμου ζηλωτὴς καὶ τῶν πατρικῶν αὐτοῦ παραδόσεων θεωρός, διὰ ταῦτα καὶ τῆς γνωστικῆς ἐφαπτόμενος. Πέτρον ἐξάγει καὶ πλοίου καὶ θαλάττης Χριστὸς καὶ τῷ ὁμοίῳ τῆς τέχνης τοῦτον ζωγρεῖ καὶ πρὸς ὑψηλοτέ | ραν | fol. 55 r *σαγήνευσιν μετατίθησι· Παῦλον δὲ ὄψις ἰσχυροτέρα τῶν ὀφθαλμῶν ἐκνικᾷ, καὶ ἀποβάλλει τὴν ἐνοῦσαν τούτῳ θεωρίαν καὶ νόησιν καὶ εἰς τὰ κρείττω μετὰ τὴν μεταβολὴν μεταμείβεται. ὁρᾶτε πῶς οὐ διαστῆσαι πορρωτέρω δεδύνημαι τοὺς ἡνωμένους ἐν τῇ τοῦ πνεύματος χάριτι, εἰ καὶ προειλόμην ἐν μέρει τὰ τούτων ἐρεῖν; καὶ τοῦτο πάντως τοῦ πνεύματος καὶ τοῦτο τῆς συναπτικῆς καὶ εἰρηναίας ἐν Χριστῷ χάριτος, ἣν καὶ ἡμεῖς ἀσπαζοίμεθα, ὡς οὐδενὶ γὰρ ἄλλῳ οὕτως ἢ τῇ φιλαδελφίᾳ χαίρει Χριστός.*

17. *Ἀλλ' ἐχέσθω καὶ πάλιν ὁ λόγος τῶν πρόσω. Πέτρος ἐκ Σίμωνος εἰς τοῦτο ὅ ἐστι μετακέκληται, ὡς ἄν τις εἴπῃ εἰς τὸν στερρὸν τῆς ἐκκλησίας θεμέλιον· πρᾶξις δὲ ὑποβάθρα τῆς θεωρίας καθέστηκεν. ἐκ Σαύλου δὲ ὁ Παῦλος παρὰ Χριστοῦ μετωνόμασται | εἰς ὃ πᾶσα πρακτικὴ δύνα-* | fol. 55 v *μις καὶ οἰκονομία κατὰ θεὸν ἀνερχομένη κατὰ βαθμὸν ἀναπέπαυται. Πέτρος ἕπεται σαρκοφοροῦντι θεῷ, Παῦλος δ' ἀκολουθεῖ τῷ ὑπὲρ τὴν σάρκα γενομένῳ Χριστῷ· Πέτρος πρὸ τοῦ πάθους καὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τῷ Ἰησοῦ μαθητεύεται, Παῦλος δὲ μετὰ τὴν ἀνάστασιν καὶ τὴν ἀνάληψιν καὶ τὴν εἰς τὰ δεξιὰ τοῦ πατρὸς ἐγκαθίδρυσιν τούτῳ συνάγεται, θεοειδεστέραν τὴν γνῶσιν λαβὼν καὶ τῶν ὑλικῶν ὑπερανῳκισμένην ἐμφάσεων. τί μᾶλλον Πέτρου τὸ γνώρισμα; θεοσημεῖαί τε καὶ τεράστια· τί δὲ Παύλου τὸ χαρακτήρισμα; θεολογία καὶ διδασκαλία καὶ ἡ τῶν κεκρυμμένων μυστηρίων ἐξαγγελία τε καὶ φανέρωσις. Πέτρος ἐν*

---

19 Io. 1, 42. **20** Matth. 16, 18. **21** sq. Act. 13, 9.

---

1 *ἑαυτῶν* cod. **4** *ἔμπυρος* cod. **30** *ὑπερανωκισμένη* cod. **31** *γνώρισμα θεοσημεῖαι* cod.

Ἱεροσολύμοις καὶ μόνον τὰ ἑαυτοῦ φανερῶσαι τεθέληκεν· fol. 56r | εὐπεριόριστα γὰρ τὰ τῆς πρά | ξεως· Παῦλος δὲ εἰς πᾶσαν γῆν τῷ λόγῳ τοῦ κηρύγματος διαβέβηκεν· ἀπερίληπτα γὰρ τὰ τῆς θεωρίας καὶ τῇ φύσει ἀδιεξίτητα. Πέτρος τὴν περιτομὴν καὶ μόνην ἠσπάζετο καὶ μεταποιεῖν αὐτὴν ἐβεβούλητο ἀπὸ τοῦ γράμματος εἰς τὸ πνεῦμα, ἀπὸ τῶν φαινομένων εἰς τὸ κεκρυμμένον μυστήριον· στενοχωρεῖται γὰρ τὸ πρακτικὸν τοῖς κινήμασι· Παῦλον δὲ καὶ τοὺς ἀπεριτμήτους προσδέχεται· τὰ γὰρ τῆς θεωρίας πεπλάτυνται. Πέτρος γυναῖκα φέρει καὶ συζυγίαν οὐκ ἀπαναίνεται· Παῦλος δὲ τὴν παρθενίαν ἀσπάζεται, τῶν θεωρητικῶν τὴν ὁμόσκηνον. Πέτρος ὀθόνην κατενηνεγμένην ἐξ οὐρανοῦ θεωρεῖ, ἐν ᾗ τὰ τῶν ζώων ἅπαντα περιέσταλται· Παῦλος δὲ εἰς πλάτος ἀνέρχεται οὐρανῶν καὶ πλήθει τῶν μερισμῶν συμμετρούμενον, fol. 56v | καὶ ἀνέκφραστα καὶ ἀκήκοε καὶ τεθέαται. Πέτρος πρῶτος τῷ χρόνῳ ἐν τῷ Χριστῷ· προτέρα γὰρ ἡ πρᾶξις τοῖς καθ' ἡμᾶς· δεύτερος δὲ Παῦλος, ἐπεὶ διὰ πράξεως εἰς τὴν τελεωτέραν γνῶσιν ἀναβαίνουσιν οἱ δυνάμενοι. ὁ Πέτρος ἐρωτᾶται καὶ ὁμολογεῖ Χριστοῦ τὴν υἱότητα ἀποκεκαλυμμένην τούτῳ ἐκ τοῦ πατρός· Παῦλος δὲ καὶ μὴ ἐρωτώμενος μηδὲ βλέπων τὸν ἐρωτῶντα ὁμολογεῖ Χριστοῦ τὴν θεότητα. κλεῖς ὁ Πέτρος τῆς θεολογίας μισθὸν τῆς βασιλείας λαμβάνει τῶν οὐρανῶν, αἰσθητήν τινα χάριν ἢ ὠνομασμένην ἐξ αἰσθητῶν· Παῦλος δὲ εἰς τρίτον ἁρπάζεται οὐρανὸν καὶ παραδείσου ἔσω χωρεῖ ἔτι διάγων ἐν σώματι καὶ ἀκροᾶται ξένων καὶ θεωρεῖ τὰ ἀθέατα, ἃ μηδ' ἐξαγγέλλειν ὡς οὗτος φάσκει δεδύνηται. Πέτρος μετὰ τὴν fol. 57r | δόξαν | καὶ τὰς θεοσημείας καὶ τὰ τεράστια ἀρνεῖται τρίτον Χριστόν· εὐμετάτρεπτος γὰρ ἡ πρᾶξις, κἂν εἰς τέλος ἔλθῃ τῆς ἕξεως· Παῦλος ἀπαρασάλευτος ἔμεινεν, ἐπείπερ ἥψατο τῶν μειζόνων θεαμάτων, καὶ ἀμετάτρεπτος. πῶς γὰρ

4 Gal. 2, 7. 10 I. Ep. Petr. 3, 1. 7. 11 I. Cor. 7, 1. 8. 12 Act. 10, 11. 13 II. Cor. 12, 4. 19 Matth. 16, 16. 21 Act. 9, 20. 22 Matth. 16, 19. 24 sq. II. Cor. 12, 2. 4. 28 Matth. 26, 70 sq.

12 κατενεγμένην cod. 14 τῶ μερισμῶ cod. 17 τῆς cod. 18 ἀναβαίνουσι cod. 21 ἐρωτόμενος cod.

ἂν εἶχεν ἢ ποῦ μεταπεσεῖν, τοῦ ἐσχάτου τῶν ὀρεκτῶν ἐφαψάμενος; Πέτρος διὰ τὴν ὑπὲρ τοὺς ἄλλους φιλίαν εἰς τὸν διδάσκαλον τὴν διδασκαλίαν κληροῦται καὶ τὰ τῆς ποίμνης πιστεύεται· Παῦλος δὲ οὐ φιλήσας πρῶτον ἀλλὰ φιληθεὶς τὸ τοῦ Χριστοῦ εὐαγγέλιον εἰς πᾶσαν γῆν διετράνωσε. καὶ ἵνα συντόμως ἐρῶ· Πέτρον μὲν εὑρίσκω τῆς πρακτικῆς εἰκόνας ἀκριβεστάτας ἐμφαίνοντα, Παῦλον δὲ θεωρίας ὡς ἐναργῆ τὰ ἰνδάλματα.

18. Οὐ μὴν ὡς οὐχὶ καὶ Πέτρου θεωρίαις ἐντρυφῶντος ταῖς ὑψηλαῖς | ἢ Παύλου ταῖς κατὰ Χριστὸν μὴ ἐνσχολάζοντος | [fol. 57v] πράξεσι· ποῦ γὰρ θήσεις ἐκείνου μὲν τὴν θεολογίαν καὶ τὰ διδάγματα, τούτου δὲ τὰς θεαρέστους ἐνεργείας καὶ σπουδάσματα, ὅτε καὶ τὰς αὐτοῦ χεῖρας εἰς ὑπηρεσίαν ἁγίων προτείνειν λέγεται καὶ ὑπὲρ τῶν ἐκκλησιῶν μεριμνᾶν καὶ τἆλλα ποιεῖν, ὅσα τῶν ἔξω καὶ φαινομένων καὶ σωματικῆς δεομένων τῆς παραστάσεως; ἄλλως τε οὐδ' ἀπ' ἀλλήλων τέλεον αὐτὰ διακέκριται, ἀλλ' ὅπερ τις ἐν ἄλλοις εἰρήκει τῶν παλαιοτέρων ἐν φιλοσόφοις ὡς 'ὁμοῦ χρήματα πάντα' ἐν [Anaxagoras] πᾶσι κεῖται, ἔτι δὲ καὶ ἐν σώμασι τεθεώρηται, ὡς ἐκ τεσσάρων ταῦτα συνέστηκε, κἂν τὸ μὲν ἐν ἐνίοις τὸν πλεονασμὸν εἴληχε, τὸ δὲ ἐν ἑτέροις ὡς μεμνήμεθα, οὕτω δὴ καὶ ἐπὶ τῶν ἕξεων τῶνδε γνωρίζεται, ὡς οὐκ ἔστιν εὑρεῖν | [fol. 58r] ἀμιγῆ τινα πρᾶξιν ἐν τοῖς ἀσκουμένοις ἢ θεωρίαν· πλεονάζειν δέ φαμεν ἐκείνην ἧς τὸ κράτος ἀριδηλότερον ἀναφαίνεται, καθάπερ ἀμέλει καὶ ἐπὶ τοῖν δυοῖν εὐφημουμένοιν ἐπέγνωσται, ὡς ἑκατέρου ἑκάτερα τῶν ἕξεων πλεονάσαντος. ἀμφότερα δὲ ἐπαινετὰ καὶ πρὸς θείαν μοῖραν τοὺς κεκτημένους ἀνάγοντα, ἐπεὶ τὸ μὲν ὑπηρετεῖ τῷ Χριστῷ ἢ τοῖς Χριστοῦ καὶ συλλαμβάνεται, τὸ δὲ ἀκροᾶται τῶν παρ' αὐτοῦ λεγομένων καὶ ἀπανίσταται τῶν ἐνθένδε καὶ πρὸς τὰ ἄνω τῶν μυστηρίων χωρεῖ καὶ περιφρονεῖ τὸ σῶμα καὶ τοῦ νοὸς ὅλον γίνεται.

19. Ἀλλ' ἓν καὶ ἀμφοῖν τὸ διὰ πάντων τέρμα καθέστηκεν· ἴδε καὶ γὰρ ὡς εἰς Ῥώμην καὶ ἄμφω οἱ διδάσκαλοι ἀποτέμνονται. εἰς ἓν γὰρ τέλος τὰ τῶν ἀρετῶν κατηντήκασι — πρόσχες ὁ συνετὸς | καὶ τῷ τόπῳ καὶ τῷ χρόνῳ | [fol. 58v]

---

2 sq. Io. 21, 15 sq. 13 II. Cor. 11, 28.

---

11 ἐνεργίας cod. 18 σώματι cod. 25 ἐπέγνωται cod. ἑκατέρᾳ?

καὶ τῷ προσώπῳ — ἐν Ῥώμῃ τῇ κυριευούσῃ τῶν πόλεων καὶ ἰσχὺν σημαινούσῃ παρὰ τῆς κλήσεως· προλαμβάνει δὲ Πέτρος, καὶ Παῦλος εἰς τὸ τέλος καθυστερεῖ — καὶ τοῦτο μυστηριῶδες καὶ κρύφιον —· καὶ παρὰ τοῦ Νέρωνος τοῦ μεγίστου ἐν ἄρχουσιν ἢ ἐν ἀπηνέσι τοῦ χείρονος. πλὴν ἔχουσί τι καὶ ἐν τοῖν τελοῖν τὸ διάφορον, ἄλλος καὶ ἄλλως σχηματισθέντες ἐν τῇ σφαγῇ· τὸν μὲν γὰρ ἔδει, τὸν Πέτρον φημί, πρὸς οὐρανὸν ὁδοιπορεῖσθαι τῷ σχήματι, τὸν δὲ Παῦλον πρὸς γῆν ἐπικλῖναι καὶ κάτω νεῦσαι, ὡς ἂν ἀνακεράσωσι τὰς ποιότητας καὶ πρὸς συμφωνίαν ὡς ἐξ ἐναντίων ταύτας ἁρμόσωσιν.

20. Ἄμφω γοῦν εἰκόνες ὡς εἰρήκειν οὗτοι τῶν θείων ἐμφάσεων καὶ ἀρετῆς καὶ ἐνταλμάτων δεσποτικῶν καὶ θεω- fol. 59r | ρίας καὶ πράξεως. | τί οὖν ἡμεῖς, ὦ φίλοι καὶ ἀδελφοί; ἆρ' εἰς μάτην ἡμῖν ὁ λόγος τὰ τοιαῦτα παρέθετο; ἆρ' ἐπὶ κενῆς ὡς ἀρχετύπῳ εἰκόνας τὸν Πέτρον καὶ τὸν Παῦλον παρέστησεν; ἢ ἔστι τις καὶ σκοπός, δι' ὃν αὐτοὺς ὁ τεχνίτης λόγος ὑπέξεσε καὶ εἰς μέσον ἡμᾶς ἔφερεν ὡς καὶ τοσούτους λόγους παραναλῶσαι καὶ τοσαύτην τρίβον τεμεῖν; μάταιοι ὄντως ἡμεῖς καὶ ἃ γεγραφήκαμεν, εἰ μὴ καὶ πρὸς ὠφέλειαν ἀφορῷεν ταῦτα καὶ τῶν πολλῶν εὐδοκίμησιν· οὔτε γὰρ θεὸς οὔτε φύσις οὔτ' ἐχέφρων ἀνὴρ ἔχουσί τι τῶν εἰς μάτην ἐργάζεσθαι. μὴ γοῦν Πέτρου χάριν ἢ Παύλου ταῦτα μοι διεξήει ὁ λόγος; μὴ ὡς ἂν δοξασθεῖεν οἱ δεδοξασμένοι καὶ τιμηθεῖεν οἱ τετιμημένοι δόξαν τὴν ὑπὲρ πᾶσαν δόξαν φθαρτὴν καὶ τιμὴν ἧς οὐδείς πω λόγος ἐφίκοιτο; fol. 59v | μὴ διὰ τού | τους οἱ πολλοὶ τῶν λόγων ἐχέθησαν καὶ τῶν εὐαγγελίων εἰσήχθησαν καὶ τὰ παλαιὰ καὶ νέα παρενεβλήθησαν; οὔμενουν· οὐ τῶν ἁγίων χάριν, οὐ τῆς ἐκείνων τιμῆς εἴτ' ὀνήσεως, ἀλλ' ἵνα ἡμεῖς τῶν ἀκροαμάτων ἀπολαύσαιμεν καὶ προσερεθισθῶμεν εἰς ἀρετὴν καὶ πρὸς ζῆλον ἐπαχθῶμεν τὸν ὅμοιον καὶ προσεικονισθῶμεν τοῖς ἀρχετύποις ἢ ὅτι ἐγγυτάτω προσίωμεν, κἂν μὴ πᾶσαν χρωματουργίαν δυνηθῶμεν εἰσδέξασθαι, ἀλλ' ὅσον ἐφικτὸν ἐφιξοίμεθα τῆς μιμήσεως.

---

6 ἄλλος em. ἄλλως cod. 8 ὁδοιπορῆσθαι cod. 27 ⟨τὰ⟩ τῶν εὐαγγελίων? 31 ἐπιχθῶμεν cod. 34 γενόμεθα cod.

21. *Γενώμεθα οὖν Πέτρος — καὶ οὐ τολμηρὸν τοῦτο εἰπεῖν, ἐπεὶ καὶ ὡς Χριστὸς γενέσθαι παρεγγυώμεθα καὶ τοῦτο λόγος σωτηρίας τῆς ἡμετέρας καὶ τοῦτο τρόπος τῆς θείας οἰκονομίας· διὰ τοῦτο γὰρ θεὸς πτωχεύει τὴν σάρκα, ἵν' ἡμεῖς πλουτήσωμεν τὴν ἐκείνου θεότητα — μιμησώμε | θα* fol. 60r *οὖν Πέτρον καὶ τὰ τοῦ Πέτρου, πρὸς τὴν ἀλήθειαν αὐθορμήσωμεν, μιμησώμεθα τὸν ζῆλον, τὴν πίστιν, τὸ στερρόν, τὸ τάχος, τὸ ἔμπυρον. ἂν ἐν πλοίῳ τυγχάνωμεν ἢ δικτύοις ἐνασχολώμεθα καὶ ἰχθύων ἄγραις προσφιλῶς διακείμεθα, ἀκούσωμεν δὲ καλοῦντος Χριστοῦ ʽδεῦτε καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων', μὴ βραδύνωμεν, καταλείψωμεν πάντα καὶ τῷ καλοῦντι ἀκολουθήσωμεν· κρεῖττον ἀνθρώπους ζωγρεῖν ἢ ἁλιεύειν ἰχθῦς. ἂν στατὴρ ἡμῖν ἀπαιτῆται καὶ ʽβάλλετε τὸ ἀμφίβληστρον' ἀκούσωμεν ʽεἰς τὴν θάλασσαν', μὴ ἀμφιβάλωμεν, παραυτίκα τοῦτο χαλάσωμεν, καὶ ἀναχθήσεται ἡμῖν ἰχθὺς οὗ τοῖς σπλάγχνοις στατὴρ εὑρεθήσεται, καὶ ἀντὶ Ἰησοῦ δοθήσεται καὶ ἡμῶν, καὶ παρέλθωσιν ἡμῖν οἱ εἰσπράττοντες. ἂν ἴδωμεν Ἰησοῦν βαδίσαντα |* fol. 60v *πρὸς ἡμᾶς, ἀπαγορεύσωμεν αὐτοῦ τὴν συνέλευσιν τὸ πλημμελὲς προβαλλόμενοι· ἂν ἴδωμεν πάλιν τοῦτον ἐν τοῖς ὕδασι βαίνοντα, μὴ φάσμασι παρεικάσωμεν· αὐτός ἐστιν ἀληθῶς ὁ σαρκὶ συνδεδεμένος καὶ αἵματι, ἃ καὶ μετὰ τὴν ἀνάστασιν φέρει καὶ ὑποδεικνύειν οὐκ ἐπαισχύνεται· ζητήσωμεν δὲ πρὸς τοῦτον ἐλθεῖν, ὡς ἂν ἐγγυμνασθῶμεν τοῖς θαύμασιν ἢ τῆς τοῦ καλοῦντος πειραθῶμεν δυνάμεως. ἂν οὖν καλέσῃ, πρὸς τοῦτον βαδίσωμεν· ἂν δὲ ταραχθῶμεν διὰ τὸ ἀτελὲς καὶ ἀπαγίωτον τοῦ φρονήματος, μὴ τὴν σωτηρίαν ἀπαγορεύσωμεν· ἐγγὺς ὁ κυβερνήτης, ἐγγὺς ὁ σωτήρ, καὶ ἐκτενεῖ τὴν χεῖρα καὶ προσλάβηται κλυδωνιζομένους· καὶ τὸ ὀλιγόπιστον μὲν ὀνειδισθῶμεν καὶ τὸν δισταγμὸν ἐγκληθῶμεν, ἀλλὰ καὶ τὸν κίνδυνον | ἐκφευξούμεθα.* fol. 61r *ἂν εἰς τὸ εὐαγγέλιον ἀποσταλῇς μονοχίτων καὶ ἄχαλκος, μὴ ἀμελήσῃς ὅλως·*

---

10 Luc. 5, 10. **13** Matth. 17, 24 sq. **18** Matth. 14, 26. **20** sq. Matth. 14, 28 sq. **32** Matth. 10, 9.

---

13 *ἰχθεῖς* cod. *ἀπαιτεῖται* cod. **19** *ἀπαγορεύσω* cod.

ἂν εἰς θεραπείαν νοσούντων, τάχυνον· ἂν εἰς δαιμονίων ἀφανισμούς, σπεῦσον· μεγάλα μὲν ταῦτα καὶ τὸ κήρυγμα καὶ αἱ θεραπεῖαι καὶ ἡ κατὰ τῶν δαιμόνων δύναμις· μέγιστον δὲ τὸ ἐγγεγράφθαι ἡμῶν ἐν τοῖς οὐρανοῖς τὰ ὀνόματα. ἂν εἰς ὄρος συνανελθεῖν Χριστῷ προσταχθῶμεν, συνανέλθωμεν τούτῳ καὶ οἷς τὰ μυστήρια ἐμπεπίστευκε· ἂν δὲ ἴδῃς ἀθρόαν ἀλλοίωσιν καὶ πρὸς τὰ κρείττω μετάμειψιν, μὴ θροηθῇς μηδὲ ταραχθῇς τὸ ἡγεμονικὸν ὡς μηδὲ γινώσκειν ὅ, τι λαλῇς· ἂν κελευθῇς μηδέν τι περὶ τούτου ἐρεῖν μέχρις ἂν ὁ κύριος δοξασθῇ, τὴν σιωπὴν ἄσπασαι. ἂν ἐρεῖς τι μὴ κατὰ γνώμην πρὸς τὸν διδάσκαλον καὶ ἀκούσῃς ʿὕπαγε fol. 61v *| ὀπίσω μου, σατανᾶ, ὅ | τι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων’, μὴ λυπηθῇς, ἀλλὰ τὸν λόγον σεβάσθητι. ἂν ἀκούσῃς ʿᾐτήσατο, Πέτρε, ὁ σατανᾶς σινιᾶσαι ὑμᾶς ὡς τὸν σῖτον, ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου’, μὴ ἀπιστήσῃς τοῖς λεγομένοις· ἀληθὴς ὁ λέγων ἐστίν, κἂν ἰσχυρογνώμων τυγχάνῃς αὐτός. ἂν νίπτῃ τοὺς πόδας τῶν μαθητῶν, εἶτα δὴ ἀφίκηται περὶ σέ, μὴ δυσανασχετήσῃς πρὸς τὴν τοῦ διδασκάλου ταπείνωσιν· ἀκούσεις γὰρ ʿἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ’ ἐμοῦ’· μάθε δὲ διὰ τούτου λόγους μυστηρίου καὶ πρὸς τὰ κρείττω συντείνοντας. ἂν πάλιν ἐρεῖ· ʿΠέτρε, πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με’, μὴ ἀμφιβάλῃς τὴν ἀπόφασιν· κρεῖττον* fol. 62r *| οἶδεν οὗτος σοῦ τῶν μελλόντων τὴν ἔκβασιν. ἂν σὺ | θαρρῇς τῷ ζήλῳ, ἀλλ’ οὗτος τὸ εὔτρεπτον τῆς φύσεως ἔγνωκεν· ἂν σὺ τῷ ὑπερβάλλοντι τῆς ἀγάπης πεπίστευκας, ἀλλ’ οὗτος τὸ εὐαλλοίωτον τῆς γνώμης ὑπὲρ πάντας ἐπίσταται· μικρὸν γὰρ καὶ ἀρνήσῃ τρὶς τὸν Χριστόν, ὑπὲρ οὗ πολλάκις ἀποθνήσκειν προῄρησαι, ὑπὲρ οὗ σὺ θεῖναι μυριάκις τὴν ψυχὴν ἔλεγες, καὶ ἐπιλησθήσῃ καὶ τῆς τοσαύτης ὑπὲρ τοῦ διδασκάλου σοι προθυμίας καὶ τοῦ τόσου τόνου καὶ τοῦ ζήλου καὶ τῆς σπουδῆς, ὡς καὶ πατάξαι τὸν Μάλχον ἐν τῇ ἁλώσει*

---

4 Luc. 10, 20. **5** sq. Matth. 17. **10** sq. Matth. 16, 23. **14** Luc. 22, 31 sq. **18** Io. 13, 5 sq. **22** Matth. 26, 34. **32** Io. 18, 10.

---

14 *συνιᾶσαι* cod. **15** *ἐκλύπῃ* cod. **19** *ἀκούσῃς* cod. **23** *τρεῖς* cod.

αὐτοῦ καὶ τούτου τὸ ὠτίον ἀποτεμεῖν. ἀλλ' εἰ καὶ τοιαῦτα πέπονθας καὶ οὕτω σοι συνέβη τῷ ζηλωτῇ, μὴ ἀπελπίσῃς· δάκρυσον ἐξελθὼν ἔξω πικρῶς, τῶν αἰσθητῶν ἐκστὰς καὶ φθαρτῶν, καὶ θεραπεύσεις τὸ τραῦμα καὶ πρὸς τὴν πρώτην ἐπανέλθῃς τιμήν, καὶ πάλιν ἐμ | πιστευθήσῃ [fol. 62v] *τῆς διδασκαλίας τὸ κήρυγμα καὶ πάλιν ⟨τὰ⟩ τῆς ποίμνης ἐγχειρισθήσῃ Χριστοῦ, καὶ μάθῃς ἄνθρωπος ὢν ἀνθρώπων συγκαταβαίνειν τοῖς πταίσμασι καὶ μὴ τῷ ἀποτόμῳ τῆς δίκης ζημίαν ἐπάγειν ἐπὶ τὸ ποίμνιον. ἂν σταυρωθῇ Χριστὸς καὶ ταφῇ, μὴ ὀκνήσῃς τὸ εἰς τὸν τάφον δραμεῖν· σύνδραμε μὲν ἄλλοις, ἀλλὰ καὶ μόνος εἰς τὸ μνῆμα ἐλθέ, παράκυψον ἐντός, γνῶθι θαύματα, μάθε τεράστια· τὸ μὲν γὰρ σῶμα τὸ δεσποτικὸν οὐ θεάσῃ, κατίδῃς δὲ τὰ ὀθόνια μόνα καὶ τὸ σουδάριον τὸ ἐν τῇ κεφαλῇ χωρὶς εἰς ἕνα τόπον ἐγκείμενον, καὶ γνωρίσῃ ἀκριβῶς τῆς ἀναστάσεως τὸ μυστήριον, καὶ τοῖς ἄλλοις ἀναγγελεῖς εἰς παράκλησιν. τί ἔτι; θέλεις δέξασθαι καὶ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν καὶ τοσοῦτον λαβεῖν τὸν μι | σθὸν* [fol. 63r] *οἷς τε ἀφῆκας τὰ ἑαυτοῦ καὶ τὸν σταυρὸν ἦρας ἐπ' ὤμων καὶ τῷ Χριστῷ ἠκολούθησας. ἂν παρὰ Χριστοῦ ἐρωτηθῇς τίς ἐστιν, μὴ ἀνθρωπίνοις ἀκολουθήσας λογισμοῖς καὶ αὐτὸς ἐρεῖς τι τοῦ δεσπότου ἀνάξιον· ἄνθρωπός ἐστι τὸ φαινόμενον, ἀλλὰ καὶ θεὸς τὸ κρυπτόμενον. μὴ προσκόψῃς ὡς οἱ Ἰουδαῖοι τοῖς ἔξωθεν· λίθος μέν ἐστιν οὗτος προσκόμματος, ἀλλὰ καὶ ἀκρογωνιαῖος γνωρίζεται. ἐκ γοῦν τοῦ πατρὸς τῶν φώτων ἀποκαλύφθητι τὸ μυστήριον καὶ ἀνενδοιάστως εἰπέ· 'σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ζῶντος'.*

22. *Ὡς θαυμασία σου αὕτη γενήσεται ἡ ἀπόφασις. Ἄρειον ἐκ τούτου καταισχυνεῖς καὶ Σαβέλλιον καὶ ὡς φληνάφους ἀποφανεῖς ἐν τοῖς δόγμασι, συναναστρέψεις δὲ καὶ Νεστόριον καὶ σύμπαν σμῆνος τῶν αἱρετικῶν ἀφανίσειας. τῷ γὰρ ὀνόματι τοῦ | υἱοῦ τὸ πρὸς τὸν πατέρα ὁμοούσιον* [fol. 63v]

---

3 Matth. 26, 75. **5** sq. Io. 21, 15 sq. **9** Io. 20. **18** Matth. 16, 24. **20** Matth. 16, 16. **24** I. Ep. Petr. 2, 7 sq. Matth. 21, 42. **28** Matth. 16, 16.

---

6 ⟨*τὰ*⟩ add. cf. 99, 3. **31** *ἀφανήσειας* cod.

καὶ ὁμοδύναμον συναχθήσεται καὶ ἡ τοῦ Σαβελλίου συναλοιφή σοι καταπτυσθήσεται· διῄρηται γὰρ πατὴρ καὶ υἱὸς τοῖς τῶν ὑποστάσεων ἰδιώμασι· καταβληθήσεται καὶ Νεστορίου τὸ βλάσφημον· Χριστὸς γὰρ εἷς ὁ ἐκ τῆς παρθένου καὶ θεοτόκου, θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος, εἷς μὲν τὴν ὑπόστασιν, τὰς δὲ φύσεις διπλοῦς. εἰ οὕτως ὁμολογήσειας, διὰ μικροῦ λόγου τὸ πᾶν σοι κατορθωθήσεται τοῦ κηρύγματος. καὶ ἡ ἀντίδοσις τῆς ὁμολογίας ὡς ὑψηλή τε καὶ θαυμασία καὶ πάσης ἐλπίδος ὑπερκειμένη καὶ ἐννοιῶν. μετονομασθήσῃ τὴν κλῆσιν καὶ οὐκέτι Σίμων ἀλλὰ Πέτρος ἀκούσῃς μακάριος, καὶ ἐπὶ τῷ λόγῳ τῷ σῷ ὡς ἐπὶ πέτρᾳ στερρᾷ ἐποικοδομήσει τὴν ἐκκλησίαν Χριστός, ἧς fol. 64r *| τοῦ ᾅδου πύλαι οὐ | κατισχύουσι, καὶ λάβῃς τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, οὗ τί ἂν εἴη εὐδαιμονέστερον; καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τῷ οὐρανῷ, καὶ δεδεσμένον αὖθις ἐν οὐρανῷ, ὃ ἐπὶ τῆς γῆς δῆσαι θελήσειας.*

23. *Τούτων τῶν ἀμοιβῶν τί ἂν γένοιτο μακαριώτερόν τε καὶ τιμιώτερον; εἰ γὰρ παρὰ βασιλέως θνητοῦ πρὸς καιρὸν τιμῶντος τὸν ἄνθρωπον μικρὰν προστασίαν προσλάβῃ τις, ἡδονὴν ἄγει καί οἱ ἐπιγαννύσκεται ἡ ψυχή· παρὰ μεγίστου καὶ ἀθανάτου βασιλέως τοῦ τὸ κῦρος πάσης γῆς καὶ παντὸς οὐρανοῦ καὶ τοῦ περὶ ταῦτα κατέχοντος τοσοῦτον καὶ τηλίκον μεγαλεῖον λαβεῖν, ὅσην φέρει τῆς ἡδονῆς τὴν ὑπερβολήν! ἄρρητός ἐστιν αὕτη καὶ ἀνερμήνευτος καὶ ἀνθρω-* fol. 64v *| πίνοις λογισμοῖς ἀνεπίβατος. σπουδάσωμεν οὖν Πέτροι | γενέσθαι ταῖς ἐργασίαις τῶν ἀρετῶν, ἵνα καὶ τῶν ἴσων γερῶν ἐπιτύχωμεν. ἀλλ᾽ εἰ Παῦλον μᾶλλον ἀπεικονισθῆναι πεφύκαμεν, ἀφθόνως γενοίμεθα Παῦλοι. πρῶτον μὲν τὸν ζῆλον, ὃν οὐ κατ᾽ ἐπίγνωσιν ἔχομεν, ἀπορρίψωμεν· τῇ προσφύσει τῶν νομικῶν διαταγμάτων ἀποταξώμεθα, εἰ καὶ μὴ ἑκόντες, ἀλλ᾽ ἄκοντες· πληγῶμεν τὰς ὄψεις· ἀποβαλώμεθα τὸ αἰσθη-*

---

12 Matth. 16, 17 sq. 30 Acta 10.

---

15 *ἂν*? cf. ind. gram. 19 *παρὰ* scripsi *περὶ* cod. 20 *τίς* cod.

τὸν τοῦτο φῶς, ἵνα τὸ νοητὸν κατοπτεύσωμεν· μετονομασθῶμεν ἐκ Σαύλων εἰς Παύλους· ἂν εἰς Ἀνανίαν ἀπέλθωμεν, δεξώμεθα παρὰ τούτου τὸ φώτισμα καὶ κατ' ἄμφω τὴν λάμψιν κερδήσωμεν· ἴδωμεν συνάμα φῶς ἡλίου φαινόμενον καὶ τοῦ ἡλίου τῆς δικαιοσύνης φῶς τὸ ἀπρόσιτον· μετακεντρίσωμεν τὸν νομικὸν ἐ | κεῖνον ζῆλον εἰς εὐαγγέ- fol. 65 r *λιον· εἰς πάντα γῆς τὰ πέρατα διδάσκειν προθυμηθῶμεν· διέλθωμεν Συρίας τὰ ὅρια, Φρυγίας, Καππαδοκίας, λιθασθῶμεν, μαστιχθῶμεν, τεσσαράκοντα παρὰ μίαν λάβωμεν, καθειρχθῶμεν· ἂν βιασθῶμεν καὶ Ῥωμαίους ἑαυτοὺς διαμαρτυρώμεθα· καλὸν κερδῆσαι τὴν σωτηρίαν· ἂν ὠφελοῖτο τὸ εὐαγγέλιον, μέχρι τοῦ Ἰλλυρικοῦ διαδράμωμεν διατρανοῦντες τὸ κήρυγμα· ἂν προλάβῃ Πέτρος εἰς Ῥώμην καὶ τὸ τοῦ μαρτυρίου τέλος προλάβοιτο, κατόπιν τούτου βαδίσωμεν· καὶ δι' ὃν ἀνήλθομεν εἰς Ἱερουσαλὴμ ὅπως ἂν αὐτὸν ἱστορήσωμεν, καὶ αὖθις μετὰ τοῦτον εἰς τὸ παγκόσμιον θέατρον καταντήσωμεν, ἵν' ἔμπροσθεν καὶ ἀγγέλων καὶ ἀνθρώπων ἀγωνισώμεθα· φέρωμεν τὸν σκόλοπα | τῆς σαρ-* fol. 65 v *κός· ἂν δυσφορῶμεν, τρὶς ὑπὲρ τούτου παρακαλέσωμεν· ἂν ἀκούσωμεν 'ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται', σιωπῇ τὸ πάθος ὑπομεῖναι σπουδάσωμεν. ἀπορρίψωμεν τῷ πυρὶ τὴν προσφῦσαν ἔχιδναν τῇ χειρί. αἵ χεῖρες ἡμῶν πρὸς τὰ ἔργα διακονείτωσαν· ἔχει γάρ τι τὸ τοιοῦτον καὶ ὠφελείας πνευματικῆς. ἡ μέριμνα καταδαπανάτω ἡμᾶς τῶν ἐκκλησιῶν· ἀγαθὸν γὰρ τοῦτο καὶ ἀρέσκον Χριστῷ. διὰ σαργάνης ἂν δεήσειε φύγωμεν, νυχθήμερον ποιήσωμεν ἐν τῷ βυθῷ· θέατρον γενοίμεθα καὶ ἀγγέλοις καὶ ἀνθρώποις· ὡσπερεὶ καθάρματα τοῦ κόσμου φανούμεθα· καλὰ γὰρ ταῦτα ἐπείπερ εὐχερῶς ἀνάγουσιν εἰς θεόν. πάντα τὰ Παύλου πεισώμεθα. γενώμεθα τοῖς Ἰουδαίοις ὡς | Ἰουδαῖοι, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, τοῖς* fol. 66 r *ἀνόμοις ὡς ἄνομοι, ἔννομοι ὄντες Χριστῷ. τοῖς πᾶσι πάντα*

---

8 Acta 14, 19. 16, 22. **9** II. Corinth. 11, 24. **10** Acta 16, 37. **18** II. Cor. 12, 7. **19** ibd. 8. **20** ibd. 9 **22** Acta 28. **25—6** Acta 9, 25. II. Cor. 11, 25 sq. 33. **27** I. Cor. 4, 9. **28** ibd. 13.

---

20 *ἀκούσομεν* cod. **29** *φανοίμεθα?*

γενοίμεθα, ἵνα τοὺς πάντας ἢ τοὺς πλείους κερδήσωμεν· θαρρήσωμεν καὶ καθ' ἑαυτῶν ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν φθέγξασθαι, καὶ ἀνάθεμα διὰ τούτους γενέσθαι θελήσωμεν. ἂν οὕτω πολιτευθῶμεν, σταυρωθήσεται μὲν ἡμῖν ὁ κόσμος καὶ ἡμεῖς τῷ κόσμῳ σταυρωθησόμεθα, ζήσομεν δὲ ἡμεῖς οὐκέτι, ζήσεται δὲ ἐν ἡμῖν ὁ Χριστός. ἔχει τις εἰπεῖν τῆς τοιαύτης ζωῆς προσφιλέστερον; καυχησώμεθα δὲ ἐν μὲν ἄλλοις ἥκιστα· εἰ δὲ καυχήσασθαι προελοίμεθα, οὐκ ἐσόμεθα ἄφρονες· ἐροῦμεν γὰρ τἀληθές· τρίτος ἡμῖν οὐρανὸς τεθεώρηται καὶ ὁ παράδεισος ὤφθη, καὶ οὐδ' ἐν γνώσει
fol. 66v | εἰ μετὰ | σωμάτων ἢ σωμάτων ἐκτός· λόγοι δὲ ἡμῖν ἠκούσθησαν ἄρρητοι, οὓς οὐκ ἐξὸν τοῖς τὰ ἀνθρώπινα φρονοῦσι λαλεῖν.

24. Οὕτως ἡμεῖς καὶ Παῦλοι φανείημεν καὶ οὕτω δὴ καὶ τῶν ὁμοίων χαρίτων ἐπιτευξοίμεθα. οὕτω καὶ Πέτρος καὶ Παῦλος τῇ ἡμῶν βελτιώσει ἐνδοξασθήσονται καὶ τῇ πρὸς αὐτοὺς μιμήσει χαρίσονται· ὡς οὐδενὶ γὰρ οὕτως ὥσπερ ἐπὶ ἀνθρώπου μετανοίᾳ καὶ πρὸς τὰ κρείττω μεταβολῇ ὁ τῶν ἁγίων δῆμος καὶ ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ ἀγάλλεται, ὑπὲρ οὗ ἅπας ἐκείνοις σκοπὸς καὶ τῆς διδασκαλίας καὶ τοῦ κηρύγματος καὶ αὐτοῦ τοῦ τέλους, ὃ τοῦ δεσποτικοῦ πρὸς μίμησιν κατωρθώσαντο. οὕτως ἐν τοῖς ἡμετέροις οἱ ἀπόστολοι χαίρουσιν, οὕτως οἱ τῆς δωδεκάδος ἐπευφραίνονται πρόκριτοι.
fol. 67r | ἀλλ' ἐπείπερ ἐμνήσθην τοῦ ἀριθμοῦ, ἔχω τι περὶ τού | του εἰπεῖν. καὶ μή με περιττολόγον ὑπολάβητε, εἰ ἀδολεσχῶ περὶ ἀριθμῶν· ἔχει γάρ τι θεωρίας ὁ λόγος οὐκ ἀγεννοῦς καὶ μηδὲ τοῖς ἁγίοις ἀπᾳδούσης, ἐπεὶ μηδὲ πάμπαν τὸ τῆς φαινομένης σοφίας οἱ θεοκήρυκες ἀπεβάλλοντο, ἀλλὰ τὸ μὲν μὴ βλάπτον ἐδέξαντο, τὸ δὲ περιττὸν ἐβδελύξαντο. ζητῶ γοῦν, ὅτου χάριν τὸν ἀριθμὸν τῆς δωδεκάδος προσήκατο ὁ Χριστὸς καί, δέῆσαν μαθητὰς λαβεῖν εἰς τὸ κήρυγμα, οὐκ ἐλάττους ἢ μείζους τῆς δωδεκάδος προείλετο. ἀριθμητι-

---

2 Rom. 9, 3. **4** II. Cor. 13, 4. Gal. 6, 14. **7** sq. II. Cor. 12, 2 sq. **12** ibd. 4. **17** Luc. 15, 7. **23** I. Cor. 1, 19. 24.

---

22 κατορθώσαντο cod.

κοὶ μὲν λόγοι οὐκ ἔχουσί τι ξενίζον περὶ δωδεκάδος ἐρεῖν· οὔτε γὰρ ἐν ἐπιπέδοις τρίγωνος ἢ τετράγωνος ἢ κύκλος οὔτ᾽ ἐν στερεοῖς κύβος ἢ πυραμὶς ἢ ἄλλο τι τῶν γινωσκομένων περιφανῶν ἐν τούτοις ἐπισυμβέβηκεν. ἑτερομήκης γὰρ ἀναπέφανται | [fol. 67v] ἐκ διπλῆς ἑξάδος συντεθεῖσθαι τῶν δώδεκα ὡς ἐκ τελείου τῇ σχέσει, καθὼς τοῖς περὶ ταῦτα δεινοῖς τεθεώρηται, μὴ καὶ πάνυ περίεργος ἂν εἴη ὁ λόγος καὶ θεωρήμασι θεολογικοῖς οὐχ ἁρμόδιος. ἀλλ᾽ οὐδὲ τὸ τῆς μουσικῆς ἁρμονίας ἔχει τι ἡμῖν συντελοῦν· κοινὸν γὰρ ἑτέροις τῶν ἀριθμῶν. ἔστι μὲν οὖν ὁ ἀριθμὸς οὗτος φίλος πάνυ θεῷ· τὰ γὰρ τῆς αὐτοῦ κληρονομίας ὑπὸ τούτου μετρεῖ. σχοίνισμα δὲ κληρονομίας ὁ Ἰσραήλ· τοσαύταις οὗτος ταῖς φυλαῖς κατηρίθμηται. ἔστι γοῦν ὁ ἀριθμὸς ἐκ τοῦ δέκα καὶ δύο συντεθειμένος ὁ δώδεκα, τοῦ δέκα μὲν δευτέρας μονάδος καὶ προσηκούσης τοῖς ὑπὸ γένεσιν· ὡς γὰρ ἀμέλει τοῖς πρώτοις ὡς ἀμερέσι καὶ ἑαυτῶν ἀνεκφυτήτοις καὶ τοῖς οὐσίαν κρυφίοις ἡ πρώτη ἐφαρμόττει μονάς, οὕτω δὴ καὶ | [fol. 68r] τοῖς δευτέροις καὶ καθ᾽ ἡμᾶς ὡς μεριστοῖς καὶ τοῖς δέκα μετρουμένοις ἡ δευτέρα πάντως ἁρμόδιος. ἔδει γοῦν τοῦ δέκα ὁπωσοῦν προσλαβεῖν ἐν τῷ καθ᾽ ἡμᾶς μυστηρίῳ γενόμενον τὸν Χριστὸν καὶ τὸν ἄνθρωπον ἀναδεξάμενον ὃν καὶ θεῶσαι βεβούληται, ἔδει δὲ τῇ δεκάδι προσεῖναι μήτε μονάδα μήτε τριάδα μήτε τινὰ ἄλλον τῶν ἀριθμῶν, δυάδα δὲ πάντως· δυὰς γάρ ἐστιν ἀριθμὸς πρῶτος καὶ μονάδος πρωτίστη κίνησις καὶ γόνιμος καὶ φύσις καὶ προόδου ἀρχὴ καὶ φύσεως μέτρον καὶ χαρακτὴρ ὕλης καὶ πρώτη ταύτης ὑπόστασις, ἣν ἐχρῆν προσκεῖσθαι τῇ δεκάδι τῶν ἀριθμῶν διὰ τὴν εἰς τὸν αἰσθητὸν τοῦτον καὶ ὑλικὸν βίον προχώρησιν καὶ τοῦ εὐαγγελίου τὸ γόνιμον. ταύτῃ γοῦν τῇ δυάδι Πέτρος καὶ Παῦλος ἠρίθμηνν | [fol. 68v] ται, οἱ δ᾽ ἄλλοι τῇ δεκάδι τῶν ἀριθμῶν καθεξῆς.

Οὕτως ἐγὼ περὶ τοῦ ἀριθμοῦ τῆς δωδεκάδος νενόηκα. εἰ μὲν καὶ τοῖς ἐπηβόλοις τῶν λογίων δεκτά, τῷ θεῷ χάρις, ἐξ οὗπερ ἅπαν δώρημα τέλειον· εἰ δ᾽ οὖν, ἀλλ᾽ ἄλλοις εἰς

---

9 *τί* cod. **12** *φιλαῖς* cod. **13** *συντεθημένος* cod. **16** *ἀμέρεσι* cod.

ἕτερον ἀναχθήσεται ταῦτα θεώρημα τελεώτερόν τε καὶ ὑψηλότερον, ἐπεὶ μηδὲ πᾶσι πάντα κεχάρισται, ἀλλὰ μεμέρισται κατὰ Παῦλον εἰπεῖν τὰ χαρίσματα, κατὰ τὸ ἑκάστου μέτρον διδόμενα.

25. *Ἀλλ' ἐπαναγέσθω ἡμῖν εἰς τὴν οἰκείαν νύσσαν ὁ λόγος. καθάρωμεν ἑαυτούς, ἀδελφοί, διὰ τοὺς ἀποστόλους Χριστοῦ, καὶ εἰ μὴ τὴν ἑαυτῶν σωτηρίαν πραγματευόμενοι, ἀλλ' οὖν αἰδεσθῶμεν τοὺς πόνους τούτων καὶ τὰ διδάγματα. ἀποσμήξωμεν πᾶσαν αἴσθησιν, ἀποταξώμεθα ταῖς λειότησι τῆς* fol. 69r | *ἀφῆς, μόνα | ταύτῃ χρησώμεθα πρὸς ἅπερ πρῶτον ὁ δημιουργὸς ἐμπεφύτευκε. μὴ ἐκθηλυθῶμεν τὴν αἴσθησιν, ταῖς εὐόδμοις ὀσμαῖς τοῦ μύρου μόνου τοῦ κατὰ Χριστὸν ὀσφραινοίμεθα. μὴ χρησώμεθα τῇ γλώττῃ εἰς τὰ ἐκ θαλάττης καὶ γῆς, μάθωμεν δὲ ὡς οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι τῷ πρὸς σωτηρίαν ἀπάγοντι. μὴ λιγυροῖς τοῖς ᾄσμασι καταυλῶμεν τὴν ἀκοήν, ἀλλ' ἐν πνευματικαῖς ταῖς ᾠδαῖς περιηχῶμεν αὐτήν, αἷς οὐ μόνον τὸ θεῖον θέλγεται ἀλλὰ καὶ τὰ πονηρὰ κατεπᾴδεται πνεύματα. ὄψεσι τὰ θεῖα κάλλη καταλαμβάνειν σπουδάσωμεν καὶ μὴ τὰ καταγοητεύοντα καὶ πρὸς ἀπώλειαν ἄγοντα. τῷ θυμῷ κατὰ μόνων τῶν ἀντικειμένων δυνάμεων χρώμεθα·* fol. 69v | *κατὰ τῶν τοι | ούτων καὶ γὰρ ἡμῖν ἐγκατέσπαρται. τὴν ἐπιθυμίαν εἰς θεὸν καὶ τὰ τοῦ θεοῦ ἀνατείνωμεν· τούτου γὰρ χάριν αὕτη τοῖς σπλάγχνοις ἡμῶν κατερρίζωται. οὕτως τοὺς ἁγίους ὡς δυνατὸν μιμησόμεθα καὶ τὴν αὐτῶν διδασκαλίαν εἰς ἔργον προβῆναι ποιήσομεν, οὕτως αὐτοὺς τιμήσομεν, οὕτως αὐτοὺς ἀγαπήσομεν, ἐὰν πᾶσαν αἴσθησιν ἀπορρίψωμεν καὶ πρὸς τὸ κρεῖττον αὐτὴν μεταστοιχειώσωμεν καὶ τὸν νοῦν ἀπὸ τῶν χαμαιζήλων πρὸς τὰ ὑπὲρ ἡμᾶς ὑπεράρωμεν.*

26. *Πρὸ πάντων δὲ καὶ ὑπὲρ πάντα τὸ τῆς ἀγάπης χρῆμα κτησώμεθα, δι' ἣν οὐ Πέτρου καὶ Παύλου γενοίμεθα*

---

3 I. Cor. 12, 4. **14** Luc. 4, 4. **17** Ephes. 5, 19.

---

8 *ἀποσμίξωμεν* cod. **12** *εὐόδοις* cod. **25** sq. *μιμησώμεθα — ποιήσωμεν — τιμήσωμεν — ἀγαπήσωμεν* cod.

μιμηταί, ἀλλὰ καὶ σύμμορφοι αὐτῷ Χριστῷ φανησόμεθα· εἰπεῖν γὰρ κατὰ Παῦλον αὐτὸν εἰ προφητείας λαλῶ, εἰ ξένας γλώσσας, εἰ | ἑρμηνείας γλωσσῶν, εἰ πάντα πλουτῶ | fol. 70 r τὰ χαρίσματα, ἀγάπην δὲ οὐκ ἔχω, ὡς κύμβαλόν εἰμι ἀλαλάζον ἢ χαλκὸς εἰς μάτην ἠχῶν. ἀγκαλισώμεθα οὖν τὴν ἀγάπην, ὦ φίλοι καὶ ἀδελφοί, ἧς οὐδὲν κρεῖττον ἢ θεῷ προσφιλέστερον. αὕτη καὶ κατὰ τὸν βίον ὀνήσιμος καὶ πρὸς θεὸν χειραγωγὸς ἀσφαλέστατος· ταύτην καινὴν διαθήκην ὁ Χριστὸς διατίθεται, ταύτην σημεῖον τῆς ἑαυτοῦ ποιεῖται διδασκαλίας, διὰ ταύτης συμβολογραφεῖται ὁ τῷ Χριστῷ διδασκόμενος. πῶς δὲ ἀλλήλους εἰς ἀγάπην συνάξαιμεν; οἱ πλούσιοι ὧν πλουτοῦσι τοῖς πένησι μεταδιδότωσαν, οἱ πένητες τὴν εὐχαριστίαν κομιζέτωσαν ἐν οἷς ἀπολαύουσιν· οἱ ἐν δυναστείᾳ τὴν ἱλαρότητα ἐν οἷς ἄρχουσιν, οἱ ὑπήκοοι τὴν εὐταξίαν ἐν οἷς ὑποτάσσονται· οἱ | ἶσοι παρὰ τῶν ἴσων | fol. 70 v μέτρων ἀπολαβέτωσαν, ἕκαστος ἑκάστῳ προσφερέτω λόγον ὀνήσοντα, οὐδεὶς γὰρ ἀνενδεής, καὶ εἰ τῶν πάνυ πλουσίων ὑπείληπται· οἱ πάντες τῶν οἰκείων δυνάμεών τε καὶ ἕξεων κοινωνείτωσαν. εἰ οὕτω δὴ ὁπλισθείημεν καὶ οὕτω συσκευασθείημεν, τάχος πρὸς οὐρανὸν ἀναπταίημεν καὶ τῷ θεῷ παρασταίημεν καὶ καθαρῶς ἐφαψαίμεθα τοῦ καθαρωτάτου καὶ λαμπροτάτου θύματος, οὗ νῦν ἀμυδρὰς τὰς ἐμφάσεις δεδέγμεθα.

27. Ἀλλ' ὦ δυὰς ἡ κορυφαία τῶν μαθητῶν τοῦ Χριστοῦ — ἐπισυναπτέον γάρ μοι πάλιν αὐτούς — οἱ τῆς ὁλομελείας τῆς δωδεκάδος τῶν μαθητῶν ὀφθαλμοί, οἱ φωστῆρες οἱ παμφαέστατοι, οὐχ ὁ μὲν εἰς ἡμέρας φαῦσιν τεθεὶς ὁ δὲ νυκτὸς τὴν δᾳδούχησιν, ἀλλὰ καὶ ἄμφω ἡμερινοὶ | καὶ | fol. 71 r τὴν νύκτα τῆς ἀγνοίας διώκοντες καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως τοὺς διδασκομένους περιπατεῖν ἀναπείθοντες, οἱ θρόνοι τῆς Χριστοῦ ἀνακλήσεως, ἐφ' ὧν ὁ διπλοῦς ἀνεπαύσατο κύριος, τὰ δένδρα τοῦ παραδείσου τὰ ἀγλαόκαρπα, ὧν οἱ

---

2 I. Cor. 13, 1 sq. **29** Rom. 13, 13. **31** sq. Apocal. 2, 7. 3, 21. 22, 1—5.

---

1 *φανησώμεθα* cod. 4 *σκύμβαλον* cod. 9 *ποιῆται* cod. 19 *συσευασθείημεν* cod. 21 *ἐφαψάμεθα* cod. 22 *θέαματος*?

μεταλαμβάνοντες τὴν ἀφθαρσίαν ἀπολαμβάνουσιν, οἱ δίκρουνοι ποταμοὶ τῶν διδαγμάτων Χριστοῦ, ἐξ ὧν οἱ πιόντες οὐκ ἀποθνήσκουσιν ἀλλὰ μεταστοιχειοῦνται πρὸς τὸ ἀθάνατον, αἱ διτταὶ τοῦ πνεύματος μάχαιραι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος διατέμνουσαι. ὦ πλάκες ἔμψυχοι, ἐν αἷς τὰ τῆς καινῆς διαθήκης ἐγκαταγέγραπται· ὦ στύλοι δύο πυρίπνοοι τὸν νέον καθοδηγοῦντες λαὸν οὐ πρὸς γῆν πατουμένην καὶ fol. 71v *| φθειρομένην καὶ ἄλλοτε ἄλλους ἀλλαττομένην εἰς δεσποτείαν τε καὶ κυρίευσιν, ἀλλ' εἰς τὴν θείαν τε καὶ ἀνώλεθρον, ἣν πόδες πατοῦσι πραέων καὶ καθ' ὑμᾶς ὡραῖοι καὶ ἀγαθὰ εὐαγγελιζόμενοι· ὦ πύργοι τῆς ἐκκλησίας ἀκράδαντοι, ἀσάλευτον ταύτην τηρήσαντες καὶ εἰς αἰῶνας ἀπερικλόνητον· ὦ Πέτρε καὶ Παῦλε — χαίρω γὰρ τοῖς ὑμετέροις ὀνόμασιν, ἔχουσι γὰρ εἰς ἀρετὴν καὶ παράκλησιν· ὦ ἄνθρωποι φανέντες καὶ ἀγωνισάμενοι ὑπὲρ ἄνθρωπον καὶ τὸ τοῦ μυστηρίου τέλος θεοὶ γεγενημένοι τῇ χάριτι, ἐπεὶ τῷ κατὰ φύσιν εὐηρεστήσατε· δέξασθε τὸν ἡμέτερον τουτονὶ λόγον κἂν πενιχρῶς καὶ οὐ φιλοτίμως αὐτὸν προσηνέγκαμεν, ἐπεὶ καὶ πάντας εἰκὸς τὸ τοιοῦτον παθεῖν. τίς γὰρ ἂν τῆς ἀρετῆς ὑμῶν ἐφίκοιτο λόγος; τίς τῶν ἄθλων; τίς τῶν ἀγώ-* fol. 72r *| νων; τίς | τῶν θαυμάτων; τίς τῆς ἐκεῖθεν αἴγλης τε καὶ λαμπρότητος; τίς μόνην τὴν σκιὰν ἐπαινέσαι Πέτρου δυνήσεται; ὦ Πέτρου σκιά, πρὸς σὲ γὰρ ἀποστρέψω τὸν λόγον καὶ ὡς ἐμψύχῳ σοι διαλέξομαι· σοῦ γὰρ καὶ δέομαι νῦν ὡς ἄν μοι ἐπισκιάσαις καὶ τὰ τῶν νόσων διαλυθείη μοι· ὦ θεία σκιὰ ψυχῆς ἰδίας ἀξία, ὦ παρυποστᾶσα μὲν σώματι, σώματα δὲ ἀπανιστῶσα καχεξιῶν· ὦ μὴ εὐμοιροῦσα αἰσθήσεως καὶ αἰσθήσεσι παρέχουσα τὴν ὑγιείαν· ποία γλῶσσα εὐφημήσειε; ποῖος λόγος ἐγκωμιάσειε; τίς νοῦς τῆς σῆς ἰσχύος ἐφίκοιτο; τίς ἤκουσε πώποτε ἀνθρώπου σκιὰν νοσοῦντας ἀνθρώπους ἀνιστῶσαν καὶ παραλύτους ἐγείρου-* fol. 72v *| σαν; σκιὰν μὲν εἶναι τὸν ἄνθρωπον λόγος εἰρήκει σοφός, | ἀλλ' εὑρίσκω σκιὰν πραγμάτων ἐξαισίων δημιουργόν· ὡς*

---

4 Apocal. 1, 16. 5 Exod. 31, 18. 6 Exod. 13, 21. **22** Act. 5, 15. **32** Psalm. 101, 12.

---

20 *ἡμῶν* cod.

μεγίστη σοι, Πέτρε, ἡ ἐπιφοιτήσασα χάρις ἐξ οὐρανοῦ, δι' ἣν οὕτως καὶ τὰ τῆς σκιᾶς σοι τερατουργεῖ.

28. *Ἀλλ' ἐπανιτέον πάλιν εἰς Πέτρον καὶ Παῦλον· εἰ γὰρ πρὸς λεπτὸν τὰ αὐτῶν διηγήμεθα, ὁ σύμπας χρόνος οὐκ ἐξαρκέσειε. δέξασθε τουτονὶ τὸν λόγον τὸν ἡμέτερον εὐμενῶς, εἰ καὶ μὴ τοιοῦτος ὡς τῷ ὑμετέρῳ μεγαλείῳ παραμετρηθήσεσθαι ἱκανός, ὃν οὐ γνώμῃ μᾶλλον ἢ τύχῃ χρησάμενοι πεποιήκαμεν. τί γὰρ κοινὸν ἡμῖν καὶ Καπούᾳ καὶ τῷ τόπου ἀρχιερατικῶς προστατεύοντι; ἀλλὰ τὸ τῆς τύχης ἀβέβαιον, ἀλλὰ τὸ τῶν πραγμάτων ἀνώμαλον καὶ τὸ τοῦ χρόνου εὐμετάβολον ἡμᾶς συνῆψαν ἐν τούτοις, καὶ ὁ τοῦ ἀρχιερατεύον | τος ζῆλος, ὃν ὑμῖν τοῖς ἀποστόλοις ἐκτρέφει, |* [fol. 73 r] *καὶ πόθος τούτου ὁ ἔνθερμος εἰς τοῦτόν με τὸν λόγον ἠνάγκασαν. ὃν ὡς πολλάκις ἔφην, ὦ Πέτρε καὶ Παῦλε, προσδέξασθε προσηνῶς, ἐπείπερ ἐκ φιλούσης καρδίας ὑμῖν προσενήνεκται, καὶ ἀντιδοίητε τοῖς τε βιασαμένοις τοῖς τε βιασθεῖσιν ἡμῖν καὶ ἁπαξαπλῶς σύμπασιν ὅσα χρηστά, ὅσα σεμνά, ὅσα ὄντως λυσιτελῆ καὶ Χριστῷ προσοικειοῦντα διὰ καθάρσεως, τὴν ἐπίλοιπον ἡμῶν βιοτὴν ἐν εἰρήνῃ καὶ γαλήνῃ διαγαγεῖν. μέχρι γὰρ τίνος τρικυμίαι καὶ κλύδωνες; μέχρι τίνος τὸ στασιῶδες καὶ μάχιμον; τὰς τοῦ σατὰν μηχανὰς μακρότερον ἀποπέμποιτε, ἀπειρήκαμεν γὰρ αὐταῖς ἐμπίπτοντες· τὸν νοῦν ἡμῶν | καὶ πᾶσαν ἔσωθεν δύναμιν |* [fol. 73 v] *τῶν αἰσθητῶν καὶ προσκαίρων ἀφέλετε καὶ τοῖς ὑπὲρ ἡμᾶς ἐνσχολάζειν διὰ παντὸς ἀπεργάσασθε· τέλος ἵλεοι γένοισθε τοῖς πολλὰ σφαλεῖσιν ἐν τῷ βίῳ ἡμῖν, ἐπὰν εἰς κρίσιν καθίσητε κατὰ τὴν τοῦ κυρίου φωνήν, καὶ ταῖς αἰωνίαις καὶ μακαρίαις σκηναῖς καθιδρύσατε, ὅπου ἦχος καθαρὸς ἑορταζόντων, ὅπου εὐφραινομένων ἡ κατοικία, ὅπου ἡ λαμπρότης καὶ ἀτελεύτητος τῶν ἠγαπηκότων τὸν κοινὸν δεσπότην διαγωγή, ὅτι αὐτῷ πρέπει τιμὴ καὶ προσκύνησις σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

10 *ἀνόμαλον* cod. **17** *σύμπασι* cod.

INDEX VERBORVM.

Asterisco signavi vocabula ea quae in Stephani Du Cangii Sophoclis Cumanudis lexicis desiderantur.

INDEX GRAMMATICVS.

INDEX NOMINVM.